Ὁ μὲν Τεῦκρος, ὁ ἐμὸς συγγενὴς, διωχθεὶς ὑπὸ τοῦ πατρὸς αὐτοῦ Τελαμῶνος, ὡς μὴ βοηθήσας καὶ ἀμύνας τῷ τοῦ Αἴαντος θανάτῳ. Ὁ δὲ Ἀγαπήνωρ, ὁ τοιόςδε καὶ τοιόςδε 4), ἐλθὼν εἰς τὴν Κύπρον, χαλκωρυχήσει, οὗ τὸν πατέρα ὁ Καλυδώνιος κάπρος ἀνεῖλε. Τρίτος δὲ ὁ Ἀκάμας, ὁ υἱὸς τοῦ Θησέως, τοῦ λαβόντος τὰ ὅπλα τοῦ Αἰγέως ἐκ τῆς πέτρας· οὗτινος Ἀκάμαντος, πρεσβέως 5) ἐλθόντος ποτὲ εἰς Τροίαν 6) σὺν Διομήδει, ἐρασθεῖσα Λαοδίκη, ἡ τοῦ Πριάμου 7) θυγάτηρ, ἐμίγη αὐτῷ 8), καὶ ἐγέννησε τὸν Μούνιτον· ὃν Μούνιτον 9) Αἴθρα, ἡ προμήτωρ Ἀκάμαντος, θήσει ἐν ταῖς χερσὶ 10) τούτου, τῆς Τροίας πορθηθείσης, εἰποῦσα αὐτῷ· Ἰδοὺ ὁ παῖς σου. Ὃν Μούνιτον συγκυνηγοῦντα ἐν Θρᾴκῃ τῷ πατρὶ Ἀκάμαντι ὄφις πλήξας ἀνεῖλε, καὶ θρηνοῦσα αὐτὸν καὶ Λαοδίκη ἡ μήτηρ, ἀποθανεῖται· ἣν ὁ φλύαρος οὗτος Λυκόφρων πρώην εἶπε, πορθουμένης τῆς Τροίας, χάσματι γῆς ὑποδεχθῆναι. Μέσῳ 11) δὲ τούτων ποιεῖται ἐμπερίβολον περιβολὴν, λέγων· Ὅταν δώσῃ 12) αὐτὸν τῷ πατρὶ Ἀκάμαντι ἡ Αἴθρα, ἣν μόνην ἀπὸ πάντων καὶ Ἀττικῶν ἐδούλωσαν Κάστωρ καὶ Πολυδεύκης, οἱ τοιοίδε καὶ τοιοίδε 13)· οὕστινας (λέγω δὴ 14) Κάστορά τε καὶ Πολυδεύκην) μὴ στείλῃς, ὦ πάτερ 15) Ζεῦ, βοηθοὺς

4) τοιόςδε) Sic legendum cum noſtris pro τοιόςδε.

5) πρεσβέως) Noſtri πρέσβεως, a πρέσβυς.

6) εἰς τρ.) Noſtri omnes delent art. τὴν, bene.

7) ἡ τοῦ πρ.) Sic Vitt. 2 et 3. pro ἡ πρ.

8) αὐτῷ) A Seb. ſuppletum noſtri quoque ſupplent.

9) Μούνιτον) Delent Vit. 1. et Ciz. bene, nam mox praecedit.

10) ἐν ταῖς χ.) Art. ταῖς cum Vit. 3. Seb. praeponit.

11) μέσῳ) Vit. 2. μέσον: Vit. 3. μέσων.

12) ὅταν δώσῃ) Sic legendum e Vitt. 2 et 3. pro ὅτ. δώσει.

13) τοιοίδε κ. τοιοίδε) Recte Vit. 1. et Ciz. pro τοῖοίδε κ. τοῖοίδε. Vitt. 2 et 3. modo habent τοιοῦτοι.

14) λέγω δὴ) A Seb. additum noſtri non agnoſcunt. Gloſſam ſapit.

τῇ δευτέρως [16]) ἁρπαγείσῃ Ἑλένῃ, μηδὲ [17]) τὸν Πρωτεσίλαον στείλῃς [18]), μηδὲ ἐξέλθοιεν οὗτοι ἀπὸ τῶν αὐτῶν πλοίων εἰς τὴν γῆν τῶν Τρώων, μηδὲ ὁ Ἴδας καὶ ὁ Λυγκεύς [19])· οὐ γὰρ μίαν ἡμέραν δυνήσονται τὰ τείχη τὰ Τρωϊκὰ τὸν πόλεμον τούτων [20]) ὑπενεγκεῖν, κἂν ἔχωσι προπύργιον τὸν Ἕκτορα. Εἶτα ἑαυτὴν ἡ Κασσάνδρα παρηγορεῖ, καί φησιν· Ἀλλ' ἔστιν ἡμῖν βοηθὸς ὁ Ζεὺς, ὃς φιλονεικίαν ἑαυτοῖς ἐμβάλλει [21]), ὅταν ὑποδέξωνται τὸν Ἀλέξανδρον· οἳ καὶ ἀναιρεθήσονται ὑπ' ἀλλήλων, διὰ τοὺς γάμους μαχόμενοι [22]) τῶν ἑαυτῶν ἀνεψιῶν, ἤτοι ἐξαδελφῶν, Φοίβης καὶ Ἱλαείρας [23]), πλὴν μόνου Πολυδεύκους [24]). Εἶτα ὁ μιαρὸς [25]) καὶ ἄλλαις χρᾶται περιβολαῖς [26]) καί φησι [27])· Καὶ τούτων [28]) μὲν ὁ θεὸς εὐνάσει ἡμῖν τὸ δόρυ· ἄλλο δὲ πολὺ πλῆθος Ἑλλήνων

15) *πάτερ*) Pro *σῶτερ* Vitt. 2 et 3. cum Seb.

16) *δευτέρως*) Vitt. 1. 3. et Ciz. *δεύτερον*: Vit. 3. *δευτέρα*.

17) *μηδὲ*) Noſtri *μὴ δὲ*, atque ita etiam in ſqq.

18) *στείλῃς*) Vit. 1. et Ciz. *στείλαις*.

19) *λυγκ.*) Vit. 1. et Ciz. *λυγγεὺς*, non bene.

20) *τούτων*) Vitt. 2 et 3. *τοῦτον*.

21) *ἑαυτοῖς ἐμβάλλει*) Vit. 1. et Ciz. *ἐμβάλλει* pro *ἐμβάλῃ*: ſed *ἑαυτοῖς* pro *αὐτοῖς* noſtri omnes.

22) *μαχόμ.*) Vitt. 2 et 3. *μαχομένων*, vt referatur ad *ἀλλήλων*; ponunt tamen poſt *ἀνεψιῶν*.

23) *ἱλαείρας*) Sic noſtri pro *ἱλαείρας*, cum Apollod. III, 10, 3. et Pauſan. II, 22, 6. et Schol. Homer. Il. γ. 243.

24) *μόνου πολυδ.*) Vitt. 2 et 3. *μόνος πολυδεύκης*.

25) *ὁ μιαρὸς*) A Seb. receptum Vitt. 2 et 3. probant: Vit. 1. et Ciz. cum edd. pr. omittunt, vti fere omnia, quibus Lycophron proſcinditur.

26) *περιβ.*) Recte. Vit. 1. et Ciz. *παραβολαῖς*, vti quoque antea: Vit. 2. *περιβουλαῖς*: Vit. 3. *βουλαῖς*.

27) *καί φησι*) Abeſt a Vitt. 2 et 3.

28) *τούτων*) Vitt. 2 et 3. *τούτῳ*, ſed hinc delent *ἡμῖν*, pro quo Vit. 1. et Ciz. *ὑμῖν*, non bene, nam ſunt verba v. 567. *καὶ τῶν μὲν ἡμῖν εὐνάσει δαίμων δόρυ*.

κινήσει καὶ ἀγάγῃ, οὓς οὐδ' ὁ 29) Ἄνιος κορέσει σίτου, οἴνου καὶ ἐλαίου. Εἶτά φησι καὶ περὶ τῶν ἑτέρων δύο· Ὁ Κηφεὺς δὲ καὶ ὁ Πράξανδρος, οἱ πέμπτοι, ἤγουν οἱ πρὸς ἀναπλήρωσιν τῶν πέντε, ὧν εἶπον, στρατηγῶν, τέταρτοι εἰς Κύπρον ἀφίξονται· πρῶτος γὰρ Τεῦκρος, δεύτερος Ἀγαπήνωρ, τρίτος Ἀκάμας, οὗτοι δὲ οἱ δύο ὁμοῦ, τέταρτοι.

Σφήκειαν] Σφήκεια, ἡ Κύπρος· πρότερον γὰρ Σφήκεια ἐκαλεῖτο, ὥς φησι Φιλοστέφανος 30) ἐν τῷ περὶ Κύπρου, ἀπὸ τῶν ἐκεῖσε ἐνοικησάντων 31) ἀνδρῶν, οἳ ἐκαλοῦντο Σφῆκες. Ἐκαλεῖτο δὲ καὶ Κεραστία, ὡς Μένανδρος 32) ἐν τῷ περὶ Κύπρου λέγει 33), διὰ τὸ ἐνοικῆσαι αὐτῇ ἄνδρας, οἳ εἶχον κέρατα· ὡς δὲ Ξεναγόρας 34)

29) *οὐδ' ὁ*) Vit. 1. et Ciz. modo *οὐδὲ*, quod Vitt. 2 et 3. plane omittunt. De Anio, Rhoeonis filio, vid. v. 570. vbi haec narrantur, ibique Canter. et Sturz. ad Pherecyd. p. 224.

30) *φιλοστέφ.*) Vti etiam Steph. Byz. ad *κύπρος*, et Etym. M. ad h. v. Vit. 3. cum Etymol. M. *στέφανος*, forte rectius, quia eadem iisdemque verbis ap. Steph. occurrunt. Philostephanus tamen librum de Cypro scripsisse traditur, cf. Voss. de Hist. Gr. p. 77.

31) *ἐνοικ.*) Vit. 1. et Ciz. *οἰκησάντων* quibus aduersantur Steph. et Etymol. M.

32) *ὡς Μένανδρος*) Pro *ὡς μὲν Ἀνδροκλῆς* restituimus ope Vitt. 2 et 3 Nemo enim est vett. scriptorum, qui meminerit Androclis. Accedit Vitt. 2 et 3. Etymol. M. ad *σφήκεια*, qui quum eadem tradat, Menandri, non vero Androclis, mentionem facit. Suidas etiam Menandrum inquit scripsisse *καὶ ἐπιστολὰς πρὸς Πτολεμαῖον τὸν βασιλέα, καὶ λόγους ἑτέρους πλείστους καταλογάδην*. Eudocia quoque p. 299. Menandrum laudat, historicum, cf. quoque Voss. de Hist. Gr. Facile autem corrumpi poterat *Μένανδρος* in *μὲν Ἀνδροκλῆς*. Abeat ergo Androcles, locumque, quem adhuc in edd. omnibus occupabat, Menandro cedat.

33) *λέγει*) Vitt. 2 et 3. *λόγῳ*: melior vulgata, nam respondet: *ἐν τῷ περὶ κύπρου* et *ἐν τῷ περὶ νήσων*.

34) *ξεναγόρας*) Idem est, quem laudant Phot. in Lex. p. 117 ad *κέρκωπες*: Schol. Apoll. Rh. I, 641. qui eum

ἐν τῷ περὶ Νήσων, διὰ τὸ ἔχειν πολλὰς ἐξοχὰς, ἃς κέρατα καλοῦσι, Κεραττία μετωνομασθῆ [35]).

448. Σάτραχον] Σάτραχος, πόλις καὶ ποταμὸς Κύπρου [1]). Τινὲς δὲ διὰ τοῦ ε γράφουσι Σέτραχον.

Ὑλάτου] τοῦ Ἀπόλλωνος. Ὕλη γάρ ἐστι περὶ τὸν Κούριον [2]), τόπον τῆς Κύπρου, ἱερὰ Ἀπόλλωνος, ἀφ' ἧς Ὑλάτην [3]) τὸν θεὸν προσαγορεύουσιν.

449. Μορφώ] Τοῦτο τὸ ξόανόν φασι πεποιῆσθαι τῇ Ἀφροδίτῃ ὑπὸ Λακεδαιμονίου τινὸς νομοθέτου, αἰνιξαμένου [4]) τὸ μὴ ἀσελγαίνειν τὰς παρθένους, ἢ πείσασθαι ταύτῃ τῇ θεᾷ [5]). Οἱ δὲ Τυνδάρεών φασι, διὰ τὸ ἁμάρτημα [6]) τῆς Ἑλένης.

Τὴν Ζηρυνθίαν] Γράφε καὶ τὴν Τροιζηνίαν [7]). Ἐν Θρᾴκῃ ἄντρον ἐστὶν [8]), ἐν ᾧ ἡ Ζηρυνθία [9]) Ἀφροδίτη

citat de insula Sicilia: Harpocrat. ad χυτροί, ὥς φησὶ ξεναγόρας ἐν ταῖς νήσοις: Etymol. M. ad σφήκεια, ἐν τῷ περὶ νήσων. Voss. de Hist. Gr. p. 336. in Bibl. Vaticana librum Xenagorae de insulis extare dicit.

35) μετωνομ.) Pro ὠνομάσθη Vit. 1. et Ciz. bene.

1) σάτραχος — κύπρου) Vitt. 2 et 3. σάτρ. ἢ σίτραχος — κύπρου, omissis vero τινὲς — σέτραχον, pro quo omnino legendum σίτραχον.

2) κούριον) Sic omnino legendum pro κάριον, consentientibus Codd. nostris, et Steph. Byz. κούριον, πόλις κύπρου, et Herodot. V, 113.

3) ὑλάτην) Vitt. 2 et 3. ὕλητον, Vit. 1. et Ciz. vt in edd. pr. ὕλατον. Steph. ad ὕλη, ὑλάτης, laudato Lycophrone.

4) αἰνιξ.) Vit. 1. et Ciz. αἰνιζαμένου, mendose.

5) θεᾷ) Nostri θεῷ, et πείθεσθαι, vt edd. vett. pro πείσασθαι.

6) τὸ ἁμάρτ.) Ciz. et Vit. 1. τὰ ἁμαρτήματα.

7) γράφε — τροιζην.) A Pottero receptum e Seld. nostri ignorant.

8) ἐν θρᾴκῃ — ἐστὶν) Vit. 1. et Ciz. ἡ θρᾴκη, ἐν ᾗ ἄντρ. ἐστ.

9) ἡ ζηρυνθία) Nostri non habent. Post τιμᾶται Vit. 1. et Ciz. sic legunt: ὑπὸ φαίδρας — παιδός· ἢ ὅτι — ἱδρύσατο, quam quoque lectionem recipere non dubitauimus pro: ἢ ὅτι ἐν τροιζῆνι

τιμᾶται, ὑπὸ Φαίδρας ἱδρυμένον, ὅτε ἤρα Ἱππολύτου, τοῦ Θησέως καὶ Ἱππολύτης τῆς Ἀμαζόνος παιδός· ἢ ὅτι ἐν Τροιζῆνι [10]) ἱερὸν Ἀφροδίτης, ὅπερ ἡ Φαῖδρα ἱδρύσατο.

450. Ὁ μὲν πατρὸς μομφαῖσιν] Ἐξελαθήσεται [1]), φησὶν, ὁ Τεῦκρος ἐκ τῆς Σαλαμῖνος ὑπὸ τοῦ πατρὸς Τελαμῶνος, διὰ τὸν Αἴαντα· Φασὶ γὰρ, ὅτι Τεῦκρος προσπλέων Σαλαμῖνι, διωχθεὶς παρὰ Τελαμῶνος τοῦ πατρὸς, ὡς μὴ ἀμύνας Αἴαντι, ἐλθὼν ἐν Κύπρῳ, καὶ [2]) Σαλαμῖνα κτίσας, αὐτὴν ᾤκησε, καὶ γήμας Εὔνην [3]) τὴν Κύπρου, Ἀστερίαν ἐγέννησε.

451. Κυγχρῆος ἄντρων] Ὁ Κυχρεὺς, ἢ [4]) Κυγχρεὺς, Σαλαμῖνος καὶ Ποσειδῶνος ὑπῆρχεν υἱὸς, ἐβασίλευσε δὲ Σαλαμινίων, ὡς φησιν Εὐφορίων [5]) ἐν Ἱππομέδοντι·

Τοῖος γὰρ [6]) Κυγχρεῖος ἐνὶ ψαφαρῇ Σαλαμῖνι.

Ἐγὼ δὲ καὶ ἦτα [7]) γράφω τὸ χρη [8]), κἂν πάντες οὐκ

ἱερὸν Ἀφροδ. ὑπὸ φαίδρας ἱδρυμένον, ἅτε ἤρα ἱππολύτου, τοῦ θησέως καὶ ἱππολύτης τῆς ἀμαζ. παιδός.

10) *τροιζῆνι*) Vit. 1. et Ciz. *τροιζηνίῳ*: Vitt. 2 et 3. *ζηρύνθῳ*.

1) *ἐξελαθ.* — usque ad *φασὶ γὰρ, ὅτι* a noſtris abſunt.

2) *καὶ* et mox *αὐτὴν* a Seb. receptum noſtri non agnoſcunt. Idem narrat ſchol. Aeſchyli Perſ. 896. *ἐν τῇ κύπρῳ ἀνεδείματο πόλιν, καὶ ταύτην καλέσας σαλαμῖνα ἐπ' ὀνόματι τῆς ἐν Ἀττικῇ.*

3) *Εὔνην*) Vit. 1. et Ciz. *Εὔνειν*. Vitt. 2 et 3. *Ἕβην*.

4) *κυχρεὺς, ἢ*) Abeſt a Vit. 1. et Ciz. ſed Vitt. 2 et 3. *κυγχρεὺς ἢ κυχρεὺς*, cff. Heyne de varia huius voc. ſcriptura ad Apollod. III, 6, 12, p. 341. et Sturz. ad Pherecyd. p. 88. et Nott. Critt. ad Lycophr.

5) *Εὐφορίων*) *Idem tradit Steph. Byz. ad λυκῶνα.* Seb.

6) *τοῖος γὰρ* —) Vit. 1. et Ciz. hunc verſum ſic exhibent: *τοῖος γὰρ ἦν κυγχρεὺς ἐνὶ ψαφ. σαλαμῖνι*, relictis poſt *ψαφ.* aliquot litteris. Vitt. 2 et 3. legunt *κυγχρεῖος*, vt Seb. ſed *ψαφηρῇ* pro *ψαφαρῇ*, non apte.

7) *ἦτα*) Noſtri *η*.

8) *χρη*) Vitt. 2 et 3. *χρηος*.

οἶδ' ὅθεν δίφθογγον τοῦτο γράφωσιν· ἐγὼ γὰρ λέγω 9), ὡς τὸ Πηλεὺς Πηλῆος, οὕτω καὶ Κυγχρεὺς Κυγχρῆος 10). Τοῦτον δέ τινες τὸν διφυῆ Κέκροπα φασιν. Ἄλλοι δὲ, ὅτι ὄφις ἐλυμαίνετό ποτε 11) τὴν Σαλαμῖνα, καὶ ἀοίκητον αὐτὴν ἐποίει, ὃν ὁ Κυγχρεὺς 12) ἀνεῖλεν, ἢ ἕως αὐτὸν ὁ Κυγχρεὺς ἀνεῖλεν 13)· ὅθεν καὶ Ἀναξίφος ἐκλήθη. Τὸ δὲ Κυγχρεῖος, γενικόν ἐστι κατὰ διάλεκτον 14).

452. Ὠμὸς ξύναιμος] Ὁ *ἐμὸς συγγενὴς Τεῦκρος, διὰ τὸ εἶναι αὐτὸν ἐξ Ἡσιόνης, τῆς Πριάμου ἀδελφῆς, παρ' Ἡρακλέος δοθείσης τῷ Τελαμῶνι εἰς γέρας* 1), *ὡς σὺν αὐτῷ πορθήσαντι τὴν Τροίαν.*

Ὀπατρίου] Ὀγαστρίου, *ἤτοι* 2) *τοῦ ὁμογαστρίου* ἀδελφοῦ, γράφουσί τινες 3) καὶ λέγουσι, κακῶς φάναι 4) τὸν ποιητήν· ὁ Αἴας γὰρ καὶ ὁ Τεῦκρος ὁμογάστριοι οὐκ

9) *ἐγὼ — λέγω*) Ciz. et Vit. 1. *καὶ λέγω.*

10) *κυγχρ. κυγχρῆος*) Pro *κυχρῆος* cum Seb. Vit. 1. et Ciz.

11) *ποτε*) Delent Vit. 1. et Ciz. vti mox *αὐτήν.*

12) *κυγχρεὺς*) Pro *κυχρεὺς* noſtri cum Seb.

13) *ἢ ἕως — ἀνεῖλεν*) Haec a nobis inſerta ſunt e Vit. 1. et Giz. Caeteri non exhibent.

14) *τὸ δὲ κυγχ. — διάλεκτον*) Haec, quae abſunt a Vitt. 2 et 3. Thryllit. putat, non eſſe Tzetzae, antea ignorantiam fatentis, et forte legendum *κυγχρέϊος* pro *κυγχρεῖος*, et addit: Euſtath. ad Dionyſ. v. 386: *ἰστέον γὰρ, ὅτι τὰ εἰς ευς πανταχῶς τὴν κλίσιν εἶχον παρὰ τοῖς παλαιοῖς· διὰ τοῦ εος, κοινῶς·* (quod tamen falſitatis arguit Stephan. Paralip. Gram. p. 138.) *διὰ τοῦ εως, Ἀττικῶς· διὰ τοῦ ηος, κατὰ τὴν νέαν ἰάδα, κατὰ δὲ τὴν παλαιὰν καὶ διὰ τοῦ ειος, κατὰ παράλυσιν τῆς ει διφθόγγου, καὶ διὰ τοῦ ιος, ἐκτεταμένου τοῦ ι, ὡς καὶ Σωφρόνιος λέγει.* Deinde pro *γενικὴ* legendum eſt praeeuntibus Ciz. et Vit. 1. *γενικόν.*

1) *εἰς γέρας*) Vit. 2. non habet.

2) *ὀγαστρίου, ἤτοι*) A Seb. additum noſtri non addunt.

3) *τινες*) Noſtri non exhibent cum edd. pr.

4) *φάναι*) Sic eſt ſcribendum conſenſu noſtrorum, non *φᾶναι*, quod eſt a *φαίνω.*

ἦσαν, ἀλλ' ὁ μὲν Αἴας Περιβοίας [5]) ἦν παῖς, τῆς Πορθάονος θυγατρὸς, Τεῦκρος δὲ Ἡσιόνης. Ἐγὼ δὲ οὐ τῷ ποιητῇ προσάπτω νῦν τὴν [6]) αἰτίαν, ἀλλὰ τοῖς μεταγραφεῦσιν [7])· ὀπατρίου [8]) γὰρ εὑρόντες ἀμυδρῶς γεγραμμένον, ἀντὶ τούτου [9]) ὀγαστρίου ἔγραψαν. Τοῦτο δὲ μᾶλλον αἰτιῶμαι τοῦ ποιητοῦ [10]), τὸ εἰπεῖν· Ὡς φονεὺς [11]) Αἴαντος· οὐ γὰρ ὡς φονεὺς, ἀλλ' ὡς μὴ ἀμύνας, ἐδιώχθη ὁ Τεῦκρος.

453. Πώλου] Τινὲς οὕτω συντάσσουσιν· ὡς φονεὺς τοῦ ὀγαστρίου πώλου, ἤτοι τοῦ Αἴαντος, ὃ ἐγὼ ὀπατρίου γράφω. Ἄλλοι δὲ μέχρι τοῦ φονεὺς στίζουσιν, ἄρχονται δὲ ἀπ' ἄλλης ἀρχῆς οὕτω· Τὸ νόθον γέννημα [1]) τοῦ πώλου, ἤτοι τοῦ Τελαμῶνος, ὅπερ ἐστὶν [2])

5) Περιβοίας) Sic legendum est, non Ἐριβοίας, vt ad v. 53. cf. ibi, vti etiam Apollod. III, 12, 7. Periboea autem non erat filia, sed neptis Porthaonis, cuius filius Alcathous, Apollod. I, 7, 10. Alcathoi autem erat filia et coniux Teucri, Apollod. III, 12, 7. Vide, quam parum sibi constet Tzetzes, qui omnia se scire iactitet!

6) νῦν τὴν) Vit. 1. et Ciz. τὴν νῦν, non male.

7) μεταγρ.) Vitt. 2 et 3. μεταγράφουσιν.

8) ὀπατρίου) Nostri ὁ πατρίου, vt antea ὁ γαστρίου. *Scribunt sic Graeci, non quod duas dictiones esse putant, sed e Calligraphia, vt ὁ ποῖος etc.* Thryllit.

9) τούτου) Abest a Ciz. et Vit. 1. qui quoque mox ἀνέγραψαν pro ἔγραψαν.

10) τοῦ ποιητ.) Vitt. 2 et 3. τῷ ποιητῇ.

11) ὡς φονεὺς — οὐ γὰρ) Desunt in Vitt. 2 et 3. incuria librarii.

1) γέννημα) Vit. 1. et Ciz. vt in Lycophr. φίτυμα.

2) ὅπερ ἐστὶν — ἀλκὴν) Desunt in Vitt. 2 et 3. Caeterum Vit. 1. et Ciz. pro ἐπαίτιον, quod nullum dat verbis aptum sensum, habent βέλτιον. Seb. ἐπαίτιον interpretatur: *perperam*, sane perperam. Nam Tzetzes laudat, non vero reprehendit hanc verborum distinctionem, et infra ad v. 495, et alias eadem dicendi formula vtitur: ὅπερ βέλτιον. Ortum videtur ἐπαίτιον e male intellecto dictantis verbo βέλτιον, quod, quis negat, nisi articulatim efferatur, facile confundi

βέλτιον. Πῶλον δὲ αὐτὸν λέγει, διὰ τὸ ὁρμητικὸν ἄγαν, καὶ τὴν ἐν τῷ πολέμῳ ἀλκήν.

Συγγενῶν βλάβη] Τῶν Τρώων, διότι 3) κατεπολέμει τοὺς Τρῶας, συγγενεῖς αὐτοῦ ὄντας, κατὰ τὸ Ὁμηρικόν·

Ὀκτὼ 4) δὴ προέηκα τανυγλώχινας 5) ὀϊστούς,
Πάντες δ' ἐν χροῒ πῆχθεν ἀρηϊθόων αἰζηῶν·
Τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα.

454. Τοῦ λύσσαν ἐν ποίμναισιν] τοῦ Αἴαντος, λέγω 6), τοῦ μανέντος ἕνεκεν τῶν Ἀχιλλέως ὅπλων, καὶ ἀνελόντος τὰ Ἑλληνικὰ ποίμνια. Ἡ δὲ ἱστορία 7) τοιάδε· Αἴας μανεὶς διὰ τὸ δοθῆναι τὴν πανοπλίαν τοῦ Ἀχιλλέως τῷ Ὀδυσσεῖ, τὰ ποίμνια τῶν Ἑλλήνων ἀνεῖλε. Τῶν Ἑλλήνων δ' ὀνειδιζόντων ὕστερον, καὶ ἑαυτὸν ἀναιρεῖ μετὰ τοῦ ξίφους, ὅπερ ἔδωκεν αὐτῷ ὁ Ἕκτωρ, ὅτε πρὸς ἀλλήλους ἐμονομάχησαν. Καὶ Ὅμηρος 8)·

. . . . . . δῶκε ξίφος ἀργυρόηλον,
Σὺν κολεῷ τε φέρων καὶ ἐϋτμήτῳ τελαμῶνι·
Αἴας δὲ ζωστῆρα δίδου φοίνικι φαεινόν.

455 — 61. Χάρωνος ὠμηστοῦ δορὰ] Χάρων, ὁ λέων κατὰ Μακεδόνας. Ἡ δὲ ἱστορία τοιαύτη· Ἐν

posse cum ἐπαίτιον. Forte etiam compendium scripturae librario fraudi fuit.

3) διότι — ὄντας) A Vitt. 2 et 3. sed sqq. κατὰ (Vitt. 2 et 3. διὰ) τὸ ὁμηρ. cum versibus a Ciz. et Vit. 1. absunt.

4) ὀκτὼ) Hom. Il. θ. 297 sqq.

5) τανυγλ.) Vitt. 2 et 3. τριγλ. perperam.

6) τοῦ — λέγω) Sic Vit. 1. et Ciz. rectius sane, quam ὡς φονεὺς τοῦ ὁπατρίου Αἴαντος.

7) ἡ δὲ ἱστορία usque ad φαεινὸν desunt in Codd. nostris: in Vit. 2. ἡ δὲ ἱστορία, δῆλον: in Vit. 3. ἡ δὲ ἱστ. δήλη. E voc. δήλη apparet, historiam, vt satis notam, non ab ipso Isaac. Tzetza, sed ab alio, fors. Io. Tzetza esse additam, et ideo δήλη in τοιάδε mutatum.

8) ὅμηρ.) Il. η, 303 sqq.

Νεμέᾳ [1]), χώρᾳ τοῦ Ἄργους, λέων ἦν ἄτρωτος σιδήρῳ καὶ βολαῖς παντοίαις, ὃν Ἡρακλῆς ταῖς οἰκείαις χερσὶ συνθλάσας, σκεπαστηρίῳ τῷ τούτου δέρματι ἐκέχρητο. Φίλος δὲ ὢν τῷ Τελαμῶνι, ἄπαιδι ὄντι, καὶ θύοντί ποτε τῷ Διῒ, διαπορευόμενος [2]) ἐκλήθη ὑπὸ τούτου εἰσελθεῖν εἰς τὴν αὐτοῦ οἰκίαν, καὶ θῦσαι τῷ ἰδίῳ [3]) πατρὶ Διῒ, οὕτως ἑστὼς μετὰ τῆς λεοντῆς, καὶ εὔξασθαι γενέσθαι παῖδα ἄῤῥενα [4]) αὐτῷ. Ἡρακλῆς δὲ λαβὼν χρυσέαν οἰνοδόχον [5]) φιάλην, ἔθυσε, καὶ ηὔξατο οὕτω [6]). Καὶ μετὰ τὴν εὐχὴν διέπτη ἀετὸς, καὶ φησι Τελαμῶνι [7])· Ἔσται [8]) σοι παῖς, ὃν [9]) κάλεσον ἀετόν· καὶ ἐκλήθη Ἀετὸς κατὰ τὸ σημεῖον [10]). Καὶ γεννηθέντα τὸν Αἴαντα Ἀετὸν ἐκάλεσεν, εἶτα Αἴαντα [11]). Αὐξηθέντα δὲ τῇ λεοντῇ

1) ἐν Νεμέᾳ) Idem narrant Io. Tzetz. in Chil. VII, 101, et Eudoc. p. 213 et 392.

2) διαπορευ.) Ita omnes Codd. noſtri cum Eudoc. p. 392, ſed Vit 3. διαπορευομένῳ, ita vt ad Διῒ referretur, non bene.

3) ἰδίῳ) Vit. 1. et Ciz. οἰκείῳ.

4) παῖδα ἄῤῥ.) Sic cum Seb. Vitt. 2 et 3. ſed Vit. 1. et Ciz. vt edd. pr. παιδίον ἄῤῥεν. Sed Apollod. III, 12, 7. παῖς ἄῤῥην, cf. Heyn. Obſeruatt. p. 310.

5) οἰνοδόχ.) Ciz. et Vit. 1. οἰνοδόκον.

6) οὕτω) Pro οὕτως bene Ciz. et Vit. 1.

7) τελαμῶνι) A Seb. reſtitutum noſtri comprobant, ſed ſeq. τελαμὼν cum noſtris omnino eſt delendum, a Seb. non deletum.

8) ἔσται) Vit. 1. et Ciz. ἔστω, non male, fere vt in N. T. Luc. I, 31. καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱόν· καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.

9) ὃν) Part. καὶ, quam vulg. addit, Vitt. 2 et 3. cum Eudoc. non agnoſcunt, bene.

10) σημεῖον) Ciz. et Vit. 1. σῆμα, ſed Vitt. 2 et 3. praeponunt: καὶ ἐκλήθη ἀετὸς κατὰ τὸ σημεῖον, bene, nam vix credibile eſt, Herculem dixiſſe κατὰ τὸ σημεῖον, quae verba Eudoc. omittit.

11) Ἀετὸν — εἶτα Αἴαντα) Pro Αἴαντος, quod reſtituit Seb. noſtri firmant, niſi quod melius cum Eudocia ἐκάλεσεν pro ἐκάλεσαν.

τοῦτον [12]) Ἡρακλῆς ἐσκέπασε [13]), καὶ ταύτην αὐτῷ ἐχαρίσατο· ὑφ' ἧς σκεπόμενος, ὡς ληροῦσιν, ἄτρωτος ἦν, πλὴν μόνου τοῦ τόπου, κατά τινας, τοῦ σκεπομένου πρώην ὑπὸ τοῦ γωρυτοῦ [14]), ὅτε ταύτην ἐφόρει ὁ Ἡρακλῆς· ὅτε δὲ [15]) ὁ Αἴας [16]), ὑπὸ τοῦ σάκους. Ἄλλοι δέ φασιν, περὶ [17]) τὴν κλεῖδα τρωτὸν εἶναι τὸν Αἴαντα. Ταῦτα δὲ λῆρος. Τὸ δὲ ἀληθὲς οὕτως ἔχει. Περιδέξιος στρατιώτης ὢν ὁ Αἴας, καὶ πολλοὺς πολεμήσας πολέμους [18]), οὐδέποτε ἐτρώθη, τῷ ἄριστα τηρεῖν ἑαυτὸν, καὶ σκέπεσθαι τῷ σάκει. Ἐπεὶ δὲ αὐτὸς ἑαυτὸν ἀνεῖλε, τὸ ξίφος κατὰ τῆς πλευρᾶς ὤσας, ἢ τοῦ τραχήλου, εἰς μῦθον ἐτέθη, ὅτι τούτους τοὺς τόπους εἶχε μόνον [19]) τρωτούς.

Ex 458. Γωρυτὸς Σκύθης] Ὁ τοῦ Τευτάρου, ὃν πρὶν [1]) οὗτος εἶπεν Ἡρακλέα διδάξαι τὴν τοξικήν. Ἐγὼ δὲ ἔφην, ὅτι [2]) ἄλλοι φασὶν, Εὔρυτον, ἢ Ῥαδάμανθυν αὐτὸν διδάξαι, πατρῷον αὐτοῦ γενόμενον.

12) *αὐξ. — τοῦτον*) Sic quoque Vitt. 2 et 3. ſed Vit. 1. et Ciz. *αὐξηθέντος — τούτῳ*, minus bene.

13) *ἐσκέπασε*) Eudoc. *διεσκέπασε*, bene.

14) *γωρυτοῦ*) Vit. 1. et Ciz. perperam *γωρητοῦ*.

15) *ὅτε δὲ — σάκους*) Eudocia non praebet.

16) *ὁ Αἴας*) Art. *ὁ* noſtri praeponunt, vt antea ad *ὁ Ἡρακλῆς*.

17) *περὶ*) Pro *ὑπὸ* lege cum noſtris. Deinde Vitt. 2 et 3. cum Eudoc. pag. 392. et Phauor. ad v. *λέων* corrupte: *περὶ Ἡρακλείδην εἶναι τὸν Αἴαντα*, pro *περὶ τὴν κλεῖδα εἶναι τρωτὸν τὸν Αἴαντα*. Eudocia et Phauor. adeo omittunt *περί*.

18) *πολέμους*) Ciz. et Vit. 1. omittunt. Vitt. 2 et 3. cum Eudoc. *πολλοὺς πολέμους πολεμήσας*.

19) *μόνον*) Vitt. 2 et 3. cum Eudoc. et edd. pr. *μόνους*: in Vit. 1. et Ciz. plane deeſt.

1) *ὃν πρὶν*) *Vit. 1. et Ciz.* ignorant *ὅν*.

2) *ἐγὼ — ἔφην, ὅτι*) Abſunt a noſtris, nam poſt *τοξικὴν* habent *ἄλλοι δέ*. Videntur a Io. Tzetza, iactatore grandiloquo, addita, cf. ad h. l. Sturz. in Pherecyd. p. 187.

Ex 459. Κωμύρῳ] Κώμυρος ὁ Ζεὺς ἐν Ἁλικαρνασσῷ τιμᾶται.

Ex 461. Σκύμνον [3]) παρ' ἀγκάλῃσιν] Ἡρακλῆς φιλῶν τὸν Αἴαντα, καὶ δεξάμενος αὐτὸν ἐν ταῖς αὐτοῦ ἀγκάλαις. καὶ πήλας, ηὔξατο ὑπὲρ αὐτοῦ τῷ Διΐ.

Ἀείτα] γενικῇ, τοῦ φίλου [4]), Δωρικῶς. Οἱ δὲ Σχολιασταὶ διὰ τοῦ ι γράφουσι ληροῦντες [5]). Ἀΐτης ὁ Ἡρακλῆς παρὰ Λακεδαιμονίοις.

462 — 63. Οὐ γάρ τι πείσει] Οὐ γὰρ πείσει, φησὶν [6]), ὁ Τεῦκρος τὸν πατέρα αὐτοῦ Τελαμῶνα. Λήμνιος δὲ ὁ Αἴας, ἤτοι ὁ πολεμικὸς (Λήμνιοι γὰρ ὥς φησιν Ἑλλάνικος [7]), εὗρον ὁπλοποιΐαν) ὁ πρηστὴρ καὶ σφοδρὸς καὶ θερμὸς [8]) ἄνεμος τῆς Ἐνυοῦς καὶ τοῦ πολέ-

3) *σκύμνον* —) Hoc ſchol. abeſt a noſtris.

4) *γενικῇ, τοῦ φίλ.*) Sic legunt Ciz. et Vit. 1. pro *ἤγουν τ. φίλ.* bene. Deinde pro *οἱ Σχολ. ι γράφοντες ληροῦσιν* legunt, vti dedimus, quibus addit Thryllit.: *Atqui Ἀΐτας per ι non per ει eſt ὁ φίλος, vt vel titulus Theocrit. Idyll. XII. innuit. Adde Euſtath. ad Hom. Od. ε, p. 240. ed. Baſ. Scholiaſta Theocriti Ἀΐτης, ὁ ἐρώμενος, ὡς Θετταλοί φασιν. Vid. etiam Etymologum. Suidas diſtinxit, et Ἀείτης exponit ὁ ἑταῖρος, contra Ἀΐτης, ὁ ὁρμητικὸς, quod vltimum, forte Herculi, tanquam epitheton, conuenire queat.*

5) *γράφ. λnp.*) Vit. 2. *γράφουσι καὶ ληροῦσι*: Vit. 3. modo *γράφουσι.*

6) *οὐ γὰρ πείσει, φησὶν*) Abſunt a Vitt. 2 et 3. et bene abeſſe poſſunt. Plura in hoc ſcholio, vti editum et, videntur mutata. Noſtri enim pro *ὁ Τεῦκρος τὸν Τελαμῶνα, εἰπὼν, ὅτι ὁ λήμνιος καὶ ὁ πολεμικὸς Αἴας αὐτὸς ἑαυτὸν ἀνεῖλε,* ſic: *ὁ Τεῦκρ. τὸν πατέρα αὐτοῦ Τελαμῶνα. λήμνιος δὲ ὁ Αἴας, ἤτοι ὁ πολεμικὸς,* reliquis demtis; atque ſic etiam hunc locum reſtituimus.

7) *Ἑλλάνικ.*) Cf. ad Fragm. Sturz. p. 142. qui hunc locum referendum putat ad Hellanici libr. *περὶ Χίου κτίσεως*: Seb. vero ad *περὶ Λήμνου κτίσεως*, haud dubie rectius.

8) *καὶ θερμὸς*) Addunt bene Vit. 1. et Ciz. quia *πρηστὴρ* a *πρήθω* deriuatur.

μου 9) (Ἐνυὼ γὰρ ἐπίθετον τῆς Ἥρας 10)) οὔποτ' 11)

9) Ἐννοῦς — πολέμου) Vel per Hendiad. Ἐνυοῦς πολεμικῆς, latine, Bellonae, vel καὶ τοῦ πολ. *id eſt belli*, ita vt Ἐνυὼ ſit i. q. πόλεμος. cf. Ruperti ad Sil. Ital. IV, 439, et X, 202, vbi quoque nominatur Enyo.

10) τῆς Ἥρας) Idem tradit ſcholiaſt. ad v. 519. Forte legendum τῆς Ἀθηνᾶς, quod facile cum Ἥρας confundi poteſt, nam nullus eſt praeter Tzetzam, qui contendat, Iunonem dictam eſſe Enyo, h. e. Suida auctore, πολεμικὴν θεόν. Minerua traditur fulminum iactus poſſidere ap. Hygin. fab. 116. collat. Virg. Aen. I, 42. cf. Burman. de Ioue Fulgurat. c. 15. Id ſane facit ad explicandum τὸ κρηστήρ. Thryllitzſchius non male coniicit legendum eſſe: ἐνυάλιος γὰρ ἐπίθετον Ἄρεως, nam Mars ſic dicitur. Interim tamen tenendum eſt, Mineruam et Enyo non eſſe vnam eandemque Deam, quod docent Hom. Il. ε, v. 333. et Lycophr. v. 519, qui videtur ſecutus eſſe Homerum. Heyne ad Hom. l. l. tradit, rariorem eſſe Deae huius Enyus memorationem. Marti comes additur ab Homero Il. ε, 592. Eudocia p. 149, cui eſt δαιμόνιον μάχιμον, a quibusdam nutricem, ab aliis matrem, et ab aliis filiam Martis eſſe nominatam, docet. Schol. Aeſchyl. in Sept. ad Theb. 45. Ἐνυὼ interpretatur μάχην. Clericus ad Heſiod. Theog. 273: Ἐνυὼ nomen eſt Bellonae, παρὰ τὸ ἔνω, ἐνύω, ὅ ἐστι φονεύω, vt coniicit Euſtathius. cf. Tzetz. ad v. 519. vbi eadem tradit. Quaecunque ita ſit, ſiue Minerva ipſa, ſiue quam nominant Latini Bellonam, quae vere eſſe videtur, et quae ſaepe cum Minerua confunditur; Iuno vero, vti Tzetzes opinatur, et quam haud dubie e loco ſcriptoris cuiusdam recentioris corrupto in ſcholia ſua recepit, neque eſt, neque eſſe poteſt. Videat ergo Tzetzes, quomodo tueatur ſuam Ἥραν πολεμικήν. Attamen vt Tzetzae aliquid demus, quo Ἥραν ſuam Ἐνυὼ v. 519. repetitam tueatur, credibile, ſaltem veriſimile eſt, mythographis aetatis ſerioris Ἐνυὼ, quum ſignificet πόλεμον et μάχην, fuiſſe quamcunque Deam pugnatricem vel proelia obeuntem, et hinc etiam Ἥραν, nixis poetarum locis, vbi ea armata proeliis interfuiſſe commemoratur, vt Virgil. Aen. II, 612 ſqq.

εἰς φυγὴν ἐλθὼν, ἢ τραπεὶς [12]), ταῦρος βαρύφρων, ὡς καὶ Ὅμηρος [13])·

Ἀνδρὶ δέ κ' οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας.

Φίτυν [14])] Φίτυς, ἡ γέννησις καὶ ὁ γεννήτης. Ἔστι ῥῆμα φιτύω, τὸ γεννῶ.

464 — 66. Δυσμενεστάτου ξένων δῶρῳ] τοῦ Ἕκτορος [1]). Μονομαχήσας γὰρ τῷ Ἕκτορι, καὶ ἰσοῤῥόπου τῆς μάχης γενομένης, φιλοῦνται [2]), καὶ ἀλλήλοις διδοῦσι δῶρα·

Αἴας δὲ ζωστῆρα [3]) δίδου φοίνικι φαεινόν,

μεθ' οὗ ἀναιρεθεὶς [4]) Ἕκτωρ ὑπ' Ἀχιλλέως, καὶ δεθεὶς, ἐκ τοῦ ἅρματος ἐσύρετο. Ὁ Αἴας δὲ τότε [5]) τὴν σπάθην

— *Hic Iuno saeuissima partes*
Prima tenet, sociumque furens a nauibus agmen
Ferro adcincta vocat.

11) οὔποτ') Pro ὁ οὔποτ' legimus cum Vitt. 2 et 3. nam ὁ turbat sensum verborum, nec Lycophron admittit.

12) ἐλθὼν, ἢ τρ.) Reuocauimus ἐλθὼν a Pottero temere eiectum, et addidimus ἢ, quod vett. edd. ignorabant, e Vit. 1. et Ciz.

13) Ὅμηρ.) Il. ν, 321.

14) Φίτυν) Hoc schol. a Seb. illatum nostri non exhibent.

1) τοῦ Ἕκτορος) Restituimus e Vit. 1. et Ciz. qui soli habent.

2) φιλοῦνται) Sic Vit. 1. et Ciz. melius pro φιλιοῦνται, quod est Graecorum recentiorum.

3) Αἴας δὲ (μὲν) ζωστῆρα) Haec modo ex Hom. Il. η, 305. Ciz. et Vit. 1. habent, statim iungentes cum μεθ' οὗ. Sane sufficiunt haec verba, reliqua postea videntur addita. Vitt. 2 et 3. omnia exhibent, sed male δίδωσι pro δίδου: Vit. 3. φαεινὴν pro φαεινόν.

4) ἀναιρεθεὶς) Praemissum καὶ hic deletum posuimus interiecto commate post Ἀχιλλ. auctoritate Codd. nostrorum. cf. Hom. Il. χ, 395 sqq.

5) τότε) A Seb. additum Vitt. 2 et 3. quoque addunt, omisso tamen articulo τὴν, bene.

ἀφ' Ἕκτορος λαβὼν 6), μετ' αὐτῆς αὐτὸς ἑαυτὸν ἀνεῖλεν, ὥς φησι Σοφοκλῆς 7). Ἀντικλείδης δὲ ὑπὸ Πάριδός φησι τοξευθέντα ἀποθανεῖν 8).

467 — 68. Τραμβήλου κάσιν] Τὸν Τεῦκρον λέγει 1)· μετὰ γὰρ τὴν ὑφ' Ἡρακλέους γενομένην τῆς 2) Τροίας ἅλωσιν, Τελαμὼν Θεάνειραν, τὴν καὶ Ἡσιόνην, ὡς ἐξαίρετον 3) γέρας ἔλαβεν, ὡς Ἴστρος ἐν Συμμίκτοις 4) φησίν. Αὕτη δ' ἐκ Τελαμῶνος ἔγκυος 5) γενομένη, ἀπέδρασε τῆς νεὼς 6), καὶ νηξαμένη ἦλθεν εἰς Μίλητον.

6) λαβὼν) Abeſt a Ciz. et Vit. 1. qui mox quoque pro μετ' αὐτῆς αὐτὸς legunt μεθ' ἧς.

7) Σοφοκλ.) Aiac. v. 909.

8) τοξ. ἀποθ.) Vitt. 2 et 3. τοξευθῆναι (forte τοξευθῆναι) καὶ ἀποθανεῖν. Vit. 1. et Ciz. male τοξευθέντος. De Anticlide cf. Voſſ. de Hiſt. Gr. pag. 244. Meurſ. Bibl. Attic. l. 1. et Fabr. Bibl. Gr. Vol. II, p. 34. ed. Harl. Meminerunt eius Plutarch. in Alexand. c. 46. it. de Muſica ἐν ταῖς ἐπιφανείαις T. X. p. 665. ed. Reisk. in: de Iſide et Oſiride T. VII. p. 444. vbi Iſidem tradit fuiſſe vxorem Promethei. Apoll. Rhod. Schol. I, 1207 et 1289. ἐν Δηλιακοῖς. Clemens Alexandr. in Stromatt. L. 5. fol. 153. Athen. IV, 157. f. n. IX, 384, d, et XI, 466, c. περὶ νόστων, id eſt, de reditu graecorum in patriam, vnde hic locus a Tzetza laudatus haud dubie ſumtus eſt.

1) λέγει) A Seb. adiectum Vit. 1. quoque adiicit, non vero Ciz. qui alias ſemper ei aſſentitur.

2) γενομένην τῆς) A noſtris abeſt.

3) ὡς ἐξαίρ.) Noſtri ignorant. Apollod. II, 6, 4. ἀριστεῖον: Sophocl. Ai. 434. τὰ πρῶτα καλλιστεῖα.

4) ἐν συμμίκτ.) Vit. 3. ἐν τοῖς συμ. De Iſtro, diſcipulo Callimachi, cf. Voſſ. de Hiſt. Gr. p. 384, et Fabr. Bibl. Gr. Vol. II, p. 44. cuius quoque meminit ſchol. Sophocl. in Oed. Col. v. 42. 1047 et 1053. vbi vero non horum συμμίκτων, vt Seb. opinatur, ſed eius libb. ἀτάκτων ſit mentio, qui quidem vnus eſt idemque liber, et Eudoc. p. 246. a qua, vti a Suida, nominatur δοῦλος καὶ γνώριμος καλλιμάχου.

5) ἔγκυος) Sic lege cum noſtris, non ἔγγυος.

6) ἀπέδρ. — νεὼς) Vit. 3. ἀπέδρα τῆς νηός. Vit. 1. et Ciz. totum hunc locum ſic

Ἐγὼ δὲ ὠνηθεῖσάν 7) φημι παρὰ Πριάμου βασιλεύοντος τῆς Μιλήτου Ἀρίωνος 8), ὃς αὐτὴν ἐν ὕλῃ κεκρυμμένην εὑρὼν, διέσωσε 9), καὶ τὸν ἐξ αὐτῆς τεχθέντα υἱὸν 10), Τράμβηλον κληθέντα, ἀνέθρεψεν ὡς ἴδιον παῖδα. Τῆς δ' ἐπὶ Ἴλιον στρατείας γενομένης, Ἀχιλλεὺς εἰς Μίλητον παρεγένετο, καὶ τὸν Τράμβηλον ἀντιστάντα ἀνεῖλε. Θαυμάσας δὲ τὴν ἀνδρείαν αὐτοῦ 11), καὶ μαθὼν Τελαμῶνος εἶναι υἱὸν 12), ἔθαψεν αὐτὸν, δακρύσας ὡς συγγενῆ.

469. Τῷ πυργοσκάφῳ] Τῷ Τελαμῶνι 1)· ἱστορεῖ γὰρ Ἑλλάνικος 2), ὅτι πρὸ τοῦ Ἡρακλέα εἰσελθεῖν εἰς τὴν Τροίαν 3) ὁ Τελαμὼν, μέρος τοῦ τείχους καταβαλὼν 4), εἰσῆλθε. Εἶτα παρατηρήσας καὶ μα-

legunt: *αὐτὴν δ' ἐκ Τελ. ἔγκυον γενομένην ἀπέδρασε τ. νεὼς καὶ εὐξαμένην* (pro *νηξαμένη*) *ἦλθεν εἰς Μίλητον διανηξαμένην τὴν μεταξὺ θάλασσαν*, quae verba vltima *διαν. — θάλ.* Vitt. 2 et 3. cum Seb. tollunt. Accufatiui fane aduerfantur orationi; lectione vero *εὐξαμένη*, fcl. *τοῖς θεοῖς*, feruata, verba vltima quoque feruari poffunt. Locus, vti Vitt. 2 et 3. cum Seb. exhibent, videtur effe recenfionis fecundae.

7) *ὠνηθεῖσαν*) Sic quoque Ciz. et Vit. 1. verum Vitt. 2 et 3. vt edd. ante Pott. *ὠνηθεῖσα.*

8) *Ἀρίωνος*) Vit. 1. et Ciz. *ὠαρίωνος*, fcripto tamen fuper *ωα*, *αω*.

9) *διέσωσε*) Noftri non habent.

10) *υἱὸν*) A Seb. fupplementum Vitt. 2 et 3. comprobant.

11) *θαυμάσας — αὐτοῦ*) Pro *εἶτα τῆς ἀνδρείας αὐτὸν θαυμάσας* Seb. reftituit, cui accedunt noftri.

12) *υἱὸν*) Noftri delent.

1) *πυργοσκ. τῷ Τελαμῶνι*) Vit. 1. et Ciz. *πυργοσκάφον λέγει τὸν τελαμῶνα.*

2) *Ἑλλάνικ.*) Cf. Sturz. Fragm. p. 147.

3) *εἰς τὴν τροίαν*) Pro *ἐν τῇ τροίᾳ* legendum cum Vit. 1. et Ciz. praeeunte Apollodoro II, 6, 4. *τελαμὼν πρῶτος εἰσῆλθεν εἰς τὴν πόλιν*, quem Tzetz. plerumque fequitur.

4) *καταβαλὼν*) Vit. 2. *καταλαβὼν*, vt nefcias, quid rectum, addit Thryllit. Rectius haud dubie *κατα-*

θῶν δυσχεράναντα τούτου ἕνεκα τὸν Ἡρακλέα, ἀλεξικάκου Ἡρακλέους βωμὸν ἱδρύσατο, καὶ τὴν ἐπὶ τῷ πεπραγμένῳ ὀργὴν ἰάσατο. Οἱ δέ φασι, τὸν Ἡρακλέα σπώμενον ἐπ' αὐτὸν τὸ ξίφος, ἐκεῖνον περὶ αὐτὸν λίθους σωρεῦσαι· τοῦ δὲ Ἡρακλέους [5]) φαμένου, Τί τοῦτο; Τελαμὼν ἔφη· Ἐγείρειν μέλλω βωμὸν Ἡρακλέους ἀλεξικάκου [6]). Καὶ οὕτω [7]) τῆς ὀργῆς Ἡρακλῆς παύεται [8]), καὶ γέρας αὐτῷ τὴν Ἡσιόνην, τὴν καὶ Θεάνειραν, δωρεῖται.

470. Ῥήτρησι [9])] Δημηγορίαις.

471 — 75. Γλαυκῷ ὤτρυνε κυνὶ στεῖλαι] Φοινοδάμας τρεῖς ἔχων θυγατέρας, ἀναγκαζόμενος ὑπὸ τοῦ Λαομέδοντος ἐκθεῖναι αὐτῶν μίαν τῷ κήτει, ἐκκλησίαν συναγαγὼν, ἐδημηγόρησε, δέον εἶναι [10]) τὸν κακοῦ αἴτιον Λαομέδοντα ἐκθεῖναι τὴν θυγατέρα αὐτοῦ [11]) Ἡσιόνην, καὶ ἔπεισε τοὺς Τρῶας· διὸ καὶ ἐξετέθη πρὸς βορὰν τῷ κήτει. Ἡρακλῆς δὲ αὐτὴν ἔσωσεν, ἀνελὼν τὸ κῆτος. Τούτου δὲ ἕνεκα μηνιῶν ὁ Λαομέδων τῷ Φοινοδάμαντι τὰς ἐκείνου τρεῖς θυγατέρας τισὶν ἐξέδοτο [12]), ἐλθόντας [13])

βαλὼν, nam supra ad v. 34. ῥῆξαι cum Apollodoro II, 6, 4.

5) εἶτα — Ἡρακλέους) Ita hunc locum restituimus ope Vit. 1. et Ciz. qui ante in omnibus edd. sic se habebat: σπωμένου δὲ Ἡρακλέους ἐπ' αὐτὸν τὸ ξίφος, ὁ (Vit. 2. τότε) Τελαμὼν (παρατηρήσας τρόπου ἕνεκα δυσχεράναντα τὸν Ἡρακλέα) (haec uncis inclusa desunt in Vitt. 2 et 3.) λίθους περὶ αὐτὸν ἐσώρευε (Vit. 3. ἐσώρευσε)· τοῦ δὲ φαμένου.

6) ἀλεξικ.) Apollod. l. l. καλλινίκου, cf. Heyne in Obseruatt. p. 183. et Sturz. ad Hellanic. p. 147. qui epitheton καλλινίκου h. l. aptissimum esse putat.

7) οὕτω) Sic nostri pro οὕτως.

8) παύεται) Ciz. et Vit. 1. ἐπαύθη.

9) ῥήτρησι) Hoc schol. Vit. 1. et Ciz. non praebent. Est schol. interlin.

10) εἶναι) A Seb. receptum nostri firmant.

11) θυγατ. αὐτοῦ) Sic Vit. 1. et Ciz. reliqui non addunt αὐτοῦ.

12) ἐξέδοτο) Nostri pro ἔδοτο, bene.

13) ἐλθόντας) Vit. 1. et Ciz. ἐλθοῦσι, non male, si iungitur cum τισίν.

εἰς γῆν [14]) ἔρημον τῆς Λιβύης [15]), ἐᾶσαι αὐτὰς θηροβρώτους [16]) γενέσθαι· ὧν μιᾷ μιγεὶς Κριμισσὸς [17]) ποταμὸς ἐν εἴδει κυνὸς, γεννᾷ τὸν Αἰγέστην [18]), ὃς ἐκεῖσε τρεῖς ἔκτισε πόλεις, Αἰγέσταν, Ἔντελλαν [19]) ἢ καὶ Ἄταλλαν ἀπὸ τῆς γυναικὸς, ἧς ἔγημε, καὶ Ἔρυκα.

Γλαυκῷ κυνὶ] Τῷ κήτει.

Βάβαξ] Ὁ ῥήτωρ, παρὰ τὸ βάζω, τὸ λέγω.

476 — 77. Πιποῦς] Πιπὼ ὄρνεόν ἐστι [1]) θαλάσσιον εὐπρεπὲς καὶ εὐειδές [2])· νῦν δὲ τὴν Ἡσιόνην οὕτω καλεῖ. Σκορπίον δὲ τὸν Ἡρακλέα [3]) λέγει, διὰ τὸ φονικόν. Κακὴν δὲ ὠδῖνα, τὸν αὐτὸν [4]), ὅνπερ ἦν καταπιὸν τὸ κῆτος.

14) εἰς γῆν) Pro εἰς τὴν Vitt. 2 et 3. bene.

15) λιβύης) *Id eſt, in vaſtam illam, vt loquitur Lycophr. v. 957. Siciliae a meridie occidentem verſus ſolitudinem: ita bene conuenit cum iis, quae narrat v. 953.* Sebaſt.

16) θηροβρ.) Vit. 1. et Ciz. θηριοβρ.

17) κριμισσ.) Noſtri κρημισσ. minus bene, nam erat fluvius Siciliae Crimiſſus, cf. Ferrarii Lex. Geograph. Infra v. 913. κρίμισσα vrbs eſt Lycophroni, et Strab. VI, p. 254.

18) Αἰγέστην) Vitt. 2 et 3. ἐγέστην, et deinde ἐγέσταν, haud dubie rectius; erat enim vrbs Siciliae Egeſta, poſtea Segeſta dicta. Vit. 1. et Ciz. vulg. Αἰγίσταν, vt Strab. VI, p. 264. Steph. Byz. quoque Ἐγέστα, ab Egeſte Troiano dicta, qui Troianus vero a Virgil. Aen. V, 550. Aceſtes, et vrbs V, 718. Aceſta nominatur. Variat ergo ſcriptura huius vocabuli.

19) Ἔντελλ.) Sic Seb. vt Steph. Byz. Vit. 1. et Ciz. ἄταλλαν, vt edd. pr. Vit. 3. cum Phauor. ἐντύλλαν (forte ἔντελλαν) ἢ καὶ ἄταλλαν ἀπὸ τῆς γυναικὸς, ἧς ἔγημε, vt infra ad v. 953. quam lectionem hic reuocauimus.

1) ἐστι) Noſtri ignorant.

2) εὐειδές) Abeſt a Vitt. 2 et 3. εὐηδὲς Vit. 1. et Ciz.

3) τὸν Ἡρακλ.) Vit. 1. et Ciz. praemittunt, vt antea, νῦν.

4) τὸν αὐτὸν) Vitt. 2 et 3. repetunt τὸν Ἡρακλέα, et λέγει huc ponunt. In Vit.

478. Ὁ δεύτερος δὲ νῆσον ἀγρότης 5)] Ἡ σύνταξις οὕτως· Ὁ δὲ ἀγρότης χερσαῖος Ἀγαπήνωρ, ὁ αὐτόδαιτος, ὁ ἐκ τῶν λυκαμνομόρφων κρεανόμων Νυκτίμου ἐσχηκὼς τὴν γέννησιν (Νυκτίμου δέ φησιν ἐκ δρυὸς τεχθέντος) ποίων κρεανόμων Νυκτίμου; τῶν πρὸ τῆς μήνης τεχθέντων, καὶ τῶν θαλψάντων κατ' ἄκρον χειμῶνα ἐνσπληδῷ πυρὸς ὀχὴν φηγίνων πύρνων· μολὼν δεύτερος τοῦ Τεύκρου εἰς τὴν νῆσον τῆς Κύπρου, χαλκωρυχήσει.

Ἀγρότης] Ἀγαπήνωρ, ὁ ἀγρευτὴς, παρ' ὅσον Ἀρκὰς τὸ γένος 6) ἦν· οἱ δὲ ἠπειρῶται καὶ ἀγρευταί. Ἢ ἀγρότης 7) ὁ ἄγριος, παρ' ὅσον ἀγρίᾳ τροφῇ ἐχρῶντο οἱ Ἀρκάδες τὸ πρὶν, ἤτοι βαλάνοις 8), ὡς καὶ ὁ παροιμιώδης χρησμός·

Πολλοὶ 9) ἐν Ἀρκαδίῃ βαλανηφάγοι 10) ἄνδρες ἔασι.

480. Χερσαῖος] Ὁ τὴν μεσόγειαν 1) τῆς Πελοποννήσου καὶ Ἀρκαδίαν 2) οἰκῶν, ὡς καὶ Ὅμηρος 3), ἐμ-

1. et Ciz. desunt κακὴν usque ad κῆτος.

5) νῆσον ἀγρότης — χαλκωρυχήσει) A Seb. suppleta a nostris absunt. Vit. 1. et Ciz. modo post δεύτερος ponunt περὶ Ἀγαπήνορος ὁ λόγος τοῦ Ἀρκάδος: Vitt. 2 et 3. vt edd. prior. ἀγαπήνωρ· ἀγρότης παρ' ὅσον etc.

6) τὸ γένος) Seb. perperam se suppleuisse iactitat art. τὸ in omnibus edd. adeo in Pott. 1. iam obuium.

7) ἢ ἀγρότης ὁ ἄγρ.) Sic legimus e Vit. 1. et Ciz. reliqui negligunt ἀγρότης, et mox ex iisdem post Ἀρκάδες suppleuimus τὸ πρὶν, quod quoque addit Erasmus in Adagiis, et Phauor. ad Ἀρκὰς, πρόσθε.

8) ἤτοι βαλ.) Vit. 1. et Ciz. τοῦτ' ἔστι βαλάνῳ.

9) πολλοὶ — Ἀρκαδ.) Vit. 1. et Ciz. πολλοὶ δ' ἐν Ἀρκάσι: Vitt. 2 et 3. vt edd. pr. Ἀρκαδίᾳ. Extat in Herodot. V, 66. Pausan. VIII, 1 et 42. et Plutarch. Coriolan. c. 3.

10) βαλανηφ.) Nostri βαλανοφ.

1) μεσόγ.) Vit. 1. et Ciz. μεσογαίαν.

2) Ἀρκαδ.) Vit. 2. καὶ Ἀρκαδ. *hoc est Arcadiam*, bene, vt saepius in his

φαίνων [4]) μὴ ἔχειν ναῦς αὐτοὺς διὰ τὸ πόῤῥω εἶναι τῆς θαλάσσης, οὑτωσὶ λέγει·

Αὐτὸς γάρ σφιν δῶκεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
Νῆας ἐϋσσέλμους [5]) περάαν ἐπὶ οἴνοπα πόντον,
Ἀτρείδης· ἐπεὶ οὔ σφι θαλάσσια ἔργα μεμήλει.

Αὐτόδαιτος] ἐπεὶ βαλανηφάγοι ἦσαν [6]).

Ἐκγόνων δρυὸς] Ἀρκὰς, ὁ Διὸς ἢ Ἀπόλλωνος παῖς, καὶ Καλλιστοῦς τῆς Λυκάονος θυγατρὸς, ὥς φησι Χάρων ὁ Λαμψακηνὸς [7]), κυνηγῶν ἐνέτυχέ τινι τῶν Ἀμαδρυάδων νυμφῶν κινδυνευούσῃ, καὶ μελλούσῃ φθαρῆ-

scholiis καί. Vit. 3. minus bene καὶ Ἀρκαδίας.

3) ὅμηρ.) Il. β, 612, sqq.

4) ἐμφαίνων — οὑτωσὶ) Desunt in Vit. 1. et Ciz. sed in Vitt. 2 et 3. sic: δείκνυσι λέγων, reliquis demtis. Videntur postea addita.

5) ἐϋσσ.) Nostri εὐσελ. simplici σ.

6) αὐτόδ. — ἦσαν) Haec, quae ab omnibus absunt edd. et Mss. eruimus e Vit. 1. et Ciz. Codd. principibus.

7) χάρων ὁ λαμψ.) Eudociae p. 435. et Suidae, qui eadem de eo tradunt, si excipias voc. ἱστορικὸς, quod abest ab Eudocia, et quod Suidas λιβυκὰ non addit, dicitur υἱὸς Πυθοκλέους, Pausan. vero X, 38, 6, ὁ Πύθεω, quod sine dubio e compendio scribendi corruptum mutandum in Πυθοκλέους. cff. Voss. de Hist. Gr. p. 8. et 357. Fabric. Bibl. Gr. Vol. III, p. 38. His addantur Creuzer Historic. gr. antiquiss. Fragmenta pag. 89. sqq. qui diligentissime de aetate et scriptis eius egit: Plutarch. in Themistocl. 27. et de Herodoti malign. Vol. IX. p. 410. ed. Reisk. vbi dic. ἀνὴρ πρεσβύτερος, scl. vt putat Reiske, Ἡροδότου, sed vid. Creuzer p. 91.: Strab. XIII, p. 583 et 589. Herodot. I, 107. schol. Apoll. Rhod. II, 2 et 479. et Photii Lex. ad κύβηβος p. 135. Scripsit quoque ὥρους λαμψακηνῶν, h. e. Annales Lampsacenorum, sic Schweighäus. ad Athen. T. II, p. 645. et VI, p. 129. sed Suid. Eudoc. et Creuz. p. 122 seqq. ὅρους λαμψ. Schweigh. vero in Indice miratur, a Creuzero lect. ὅρους esse defensam. Caeterum Creuzer. l. l. p. 131.

καὶ ὑπὸ χειμάῤῥου ποταμοῦ [8]) ἐν τῇ δρυΐ, ἐν ᾗ γεγονυῖα ἦν ἡ νύμφη, καὶ ἀνέτρεψε τὸν ποταμὸν, καὶ τὴν δρῦν [9]) χώματι ὠχύρωσεν. Ἡ δὲ νύμφη, Χρυσοπέλεια τὴν κλῆσιν κατ' Εὔμηλον [10]), συνελθοῦσα αὐτῷ, γεννᾷ Ἔλατον καὶ Ἀφείδαντα [11]), ἐξ ὧν εἰσὶν καὶ οἱ [12]) Ἀρκάδες, ὥς φησι Ἀπολλώνιος.

quoque locum nostrum tractauit.

8) ποταμοῦ) Art. τοῦ in vulg. praepos. deleuimus consensu nostrorum.

9) τὴν δρῦν) Sic Vit. 1. et Ciz. recte pro τὴν γῆν. Sic Com. Natal. V, 11, p. 472, vbi eadem narrat: *quare ille fluuium alio diuertit, et quercum terra communiuit.* Sebast. quoque cum edd. omnibus, quae exstant, legit τὴν γῆν, et tamen in interpretatione lat. exhibet: *quercumque aggere communiuit.* Vnde haec inconstantia? vnde haec quercus in interpretationem eius lat. translata? Caeterum inde patet, Codd. Vit. 1. et Ciz. esse antiquissimos, et haud dubie primae recensionis. Creuzer. hanc diuersitatem lectionis non notauit.

10) Εὔμηλον) Cff. Voss. de Hist. Gr. p. 5. Heyne in Ind. scriptt. ad Apollod. laudatorum, et instar omnium Groddeck in: *Bibl. der alten Litter.* II, p. 94.

11) Ἀφειδ.) Vitt. 2 et 3. ἀμφειδ. vitiose, cf. Heyne ad Apollod. III, 9, 1. quem Tzetzes h. l. secutus est.

12) εἰσὶν — οἱ) Vitt. 2 et 3. εἰσὶ καὶ οἱ, sed mox Ἀπολλ. praepositum in vulg. καὶ nostri bene delent. Locus Apollonii est L. II, 475 sqq. vid. ibi scholia, *vbi Charonis Lampf. locus haud paullo aliter.* Thryllit. *Apud Apollonium vero loquitur ibi Agenorides Phineus de Paraebio, quod quercum excidisset, collat. L.* III, v. 478. *Scholiast. vti Theocrit.* III, 13. *tribuit Rhoeco Centauro.* Reines. Idem notat Sebast. et addit: *Quod porro de Arcade et nympha Hamadryade refert, deceptionem* (?) *arbitror; atque aliter accepisse, quod de eadem nympha tradit ap. ipsius Apollonii scholiastam loc. cit. Charon Lampsacenus, qui non de Arcade, verum de Rhoeco Centauro loquitur.* cf. quoque Creuzer l. l. p. 130 et 132. Versus Apollonii in Vit. 1. et Ciz. omissi, in Vitt. 2 et 3. alio ordine sunt positi.

Ἀλλ' ὅγε [13]) πατρὸς ἑοῖο (τοῦ Ἀρκάδος [14])) κακὴν τίνεσκεν ἀμοιβὴν
Ἀμπλακίης· ὁ γάρ οἶος ἐν οὔρεσι [15]) δένδρα τέμνων [16])
Δή ποθ', Ἁμαδρυάδος [17]) νύμφης ἀθέριξε [18]) λιτάων,
Ἥ μιν ὀδυρομένη ἀδινῷ μειλίσσετο μύθῳ,
Μὴ ταμέειν [19]) πρέμνον δρυὸς ἥλικος, ᾗ ἐπὶ πουλὺν
Αἰῶνα τρίβεσκε διηνεκές . . . .

Ἢ ὅτι Ἀγαπήνωρ [20]) ἀπὸ Δρύοπος ἔσχε [21]) τὸ γένος, ὁ δὲ Δρύοψ υἱὸς ἦν [22]) Ἀπόλλωνος καὶ Δίας τῆς Λυκάονος· ταύτῃ γὰρ συνελθὼν Ἀπόλλων, ἔγκυον ἐποίησεν. Ἡ δὲ τεκοῦσα, τὸ βρέφος ἔκρυπτε δρυὸς στελέχει, ὅθεν καὶ Δρύοψ ἐκλήθη, καὶ ἐξ αὐτοῦ Δρύοπες οἱ περὶ Παρνασσὸν, ὥς φησιν Ἀπολλώνιος [23])·

Δίου Θειοδάμαντος, ὃν ἐν Δρυόπεσσιν ἔπεφνε.

13) ὅγε) Vitt. 2 et 3. modo ὅ.

14) τοῦ Ἀρκάδος) Vncis inclusum nostri non agnoscunt. *Versum quidem restituit Gerbelius, sed τοῦ Ἀρκάδος, (quod certe non erat praetereundum) omisit.* Potter. Sed Thryllit. addit: *vid. Apollonium, et aliter iudicabis, nam ille Paraebium patrem, de quo haec narrat, non nominauit κατὰ ῥητόν.*

15) οὔρεσι) Pro οὔρεϊ Vitt. 2 et 3. cum Seb.

16) τέμνων) Apollon. Vitt. 2 et 3. recte: Seb. cum edd. pr. perperam τάμνων.

17) ποθ' Ἁμαδρ.) Vit. 2. πότ', Vit. 3. τότ' Ἀμαδρ.

18) ἀθέρ.) Nostri, vt edd. pr. ἀθέριζε, male.

19) μὴ ταμέειν) A Seb. hos versſ. additos Vitt. 2 et 3. non addunt.

20) Ἀγαπ.) Vitt. 2 et 3. art. ὁ praemittunt.

21) ἔσχε) Vit. 1. et Ciz. vt edd. vett. εἶχε: ſed Vitt. 2 et 3. ἔσχε.

22) ἦν) A Seb. adiectum noſtri non agnoſcunt. Idem tradunt Etymol. M. ad Δρύοψ, et Pauſ. IV, 34, 6. ſed ſchol. Apollon. p. 160, b. δρύοπος τοῦ λυκάονος καὶ δίας τῆς λυκαονείας. cf. Creuzer l. l. p. 132, et prae caeteris Verheyk ad Ant. Liberal. Metamorph. XXXII, p. 210. qui pro Δίας legendum exiſtimat Δηϊανείρας.

23) Ἀπολλώνιος) Sic h. l. vt ſupra v. 208. pro Ἥλιος legendum, vbi conferas, quae ſunt dicta, nam etiam hic verſ. eſt Apoll. Rh. I, 1213.

481. Λυκαινομόρφων] Ὁ τράγος κακῶς ἔφη Λυκόφρων [1]· λυκομόρφων γὰρ ὤφειλεν εἰπεῖν· οὐ γὰρ λύκαιναι, ἀλλὰ λύκοι γεγόνασιν οἱ Λυκάονος παῖδες, κατὰ τοῦτον. Ἡ δὲ ἱστορία τοιαύτη·

Πελασγὸς ἦν παῖς τοῦ Διὸς καὶ Νιόβης, ᾧ Λυκάων [2]) παῖς ἐκ Μελιβοίας [3]) κόρης, εἴτ' οὖν [4]) Κυλλήνης τῆς νύμφης [5]), ὥς φασιν ἄλλοι πάλιν [6]). Οὗτος [7]) καταστὰς βασιλεὺς τῶν Ἀρκάδων,

Πολλαῖς [8]) γάμοις δίδεικτο πεντηκοντάκαις·
Ἀλλ' ἀσεβὲς βλάστημα τῶν τέκνων ἔφυ,

1) λυκόφρων) A Seb. additum comprobant Vitt. 2 et 3. haud dubie interceptum a seq. λυκομόρφων, quin adeo augent, nam habent sic: ὁ τράγος κακῶς ἔφη λυκόφρ. Per contemtum, vti videtur Thryllitzschio, vocat Lycophr. τράγον, quem τραγικὸν appellare debuerat. Forsitan τράγον e compendio scripturae ortum et τραγικὸν scribendum. Vit. 1. et Ciz. haec, vt omnia, quae carpunt Lycophronem, non exhibent.

2) ᾧ λυκ.) Nostri delent καὶ interpositum, bene, cum Com. Nat. IX, 9. p. 993. qui totum hunc locum videtur exscripsisse e Tzetza verbis gr. cum interpretatione lat. laudato auctore eius Hecataeo Milesio, cf. Heyn. Obseru. ad Apollod. p. 263. qui fraude hoc fecisse putat.

3) μελιβοίας) Vit. 1. et Ciz. μελιβοίης, vt edd. pr. et Natal. Com. vid. Apollod. III, 8, 1, quem Tzetzes ante oculos habuit.

4) εἴτ' οὖν) Nostri pro εἴτουν.

5) τῆς νύμφης) A Seb. intrusum, neque Codd. nostri, neque Nat. Com. l. l. neque edd. pr. habent. Ex Apollodoro illatum est a glossatore.

6) ὥς — πάλιν) Sic cum Seb. legunt Vitt. 2 et 3. Potterus perperam πάλιν seq. οὗτος adnectit, posito antea puncto. Nat. Com. πάλιν plane omittit. Apollodor. melius ordinat verba sic: ἢ, καθάπερ ἄλλοι λέγουσι, νύμφης κυλλήνης sine πάλιν, quod sane abesse potest. Vit. 1. et Ciz. legunt: ὥς φησιν ἄλλος πάλαι.

7) οὗτος) Vit. 1. et Ciz. vt Apollod. ὃς; Natal. Com. οὗτος ἔπειτα: Vitt. 2 et 3. οὗτος — Ἀρκάδων, vt versiculum senarium, separatim ponunt.

8) πολλοῖς etc.) Hic discedens Natal. Com. a Tze-

ὧν τὰ ὀνόματα [9]) Μαίναλος [10]), Θεσπρωτὸς, Νύκτιμος [11]), Καύκων, Λύκιος [12]), Φθίος τε καὶ Τηλεβόας, Αἵμων, Μαντίνους, Στύμφαλός [13]) τε καὶ Κλείτωρ, Ὀρχόμενός τε καὶ ἕτεροι, οἳ πάντες, ὡς ἔφην [14]), πάντας ἀνθρώπους [15]) ὑπερέβαλον ὑπερηφανείᾳ καὶ ἀσεβείᾳ. Ζεὺς δὲ, τὴν αὐτῶν ἀσέβειαν πειρᾶσαι βουλόμενος [16]), εἰκασθεὶς ἀνδρὶ χερνήτῃ, παραγίνεται αὐ-

tza et Apollodoro pro verſſ. exhibet: κατὰ χρησμὸν τινὰ ἐκ πολλῶν γάμων πολλοὺς παῖδας λαβὼν, αὐτὸς ὢν ἀσεβὴς, ἀσεβεῖς καὶ τοὺς παῖδας προσέλαβεν, ὧν Μαίναλος etc. Forte haec e Grammatico veteri, qui ſua ex Hecataei Mileſii L. II. Genealogiarum laudato auctore hauſerat, et quem quoque Tzetzes ſecutus eſt, petierat. Atque hactenus ſuſpicione fraudis ab Heynio damnatus abſolui poſſe videtur: cf. tamen Creuzer in Hiſtoric. Gr. Antiq. Fragmentis p. 64 ſq.

9) ὀνόματα) Pro ἦν a Seb. poſitum noſtri non agnoſcunt. Natal. Com. neque ὀνόμ. neque ἦν habet.

10) Μαίναλος) Recte, ſed Vit. 1. et Ciz. μέληνος. Vitt. 2 et 3. μαίναλθος, mendoſe, cf. Heyne ad Apollod.

11) Νύκτιμος) Noſtri, vt edd. pr. σὺν Νυκτίμῳ. Nat. Com. σὺν Νυκτίμῳ καὶ Καύκωνι.

12) Λύκιος) A Seb. repoſitum pro Λύκος, quod noſtri cum Com. Nat. tuentur.

13) Στύμφαλος) Noſtri, vt edd. pr. et Natal. Com. Στύμφηλος, quod etiam comprobat Pauſan. VIII, 22, vid. ibi Facium. Sed audiamus Thryllit. quid de hoc loco ſentiat: *Continua*, inquit, *ſenarios et mecum lege:*

Ὧν ἦν Μέληνος, Θεσπρωτὸς σὺν Νυκτίμῳ,
Καύκων, Λύκος, Φθὰς τε, καὶ Τηλεβόας,
Αἵμων, Μαντίνους, Στύμφηλός τε καὶ Κλείτωρ.

Verſus non ſunt omnes exacti: et ſaltem quater peccant, ſed vides tamen poetae lacinias. Peccat is etiam ante: ἀλλ' ἀσεβεῖς.

14) ὡς ἔφην) Abeſt a Ciz. et Vit. 1.

15) πάντ. ἀνθρ.) Noſtri cum Nat. Com. vt edd. pr. πάντες praeter Vit. 1. qui πάντας exhibet, bene. Praeterea omnes tuentur lect. vet. ἐνίκων pro ὑπερέβαλον, quod videtur ex Apollodoro mutatum.

16) τὴν αὐτῶν — βουλόμενος) A Seb. illata, neque Codd. noſtri, neque Nat.

τοῖς [17]). Οἱ δὲ καλέσαντες αὐτὸν [18]) ἐπὶ ξένια, σφάττουσιν ἕνα τῶν ἐπιχωρίων παῖδα [19]), οὗ τὰ σπλάγχνα τοῖς ἱεροῖς [20]) συμμίξαντες, παρέθηκαν [21]) τῇ τραπέζῃ, συμβουλεύσαντος τοῦ πρεσβυτέρου ἀδελφοῦ Μαινάλου [22]). Ζεὺς δὲ μυσαχθεὶς [23]), τὴν μὲν τράπεζαν ἀνέτρεψεν, ἔνθα [24]) νῦν Τραπεζοῦς [25]) καλεῖται ὁ τόπος ἐν Ἀρκαδίᾳ· Λυκάονα δὲ καὶ τοὺς τούτου [26]) παῖδας ἐκεραύνωσε [27]), πλὴν τοῦ νεωτάτου [28]) Νυκτίμου.

Com. habet. Ex Apollodoro a glossatore addita videntur.

17) παραγ. αὐτοῖς) Ciz. solus omisit αὐτοῖς, quod quoque Apollod. non agnoscit.

18) οἱ — αὐτὸν) Vt Apollod. sed Nat. Com. ὃν αὐτοί, *quem ipsi*.

19) ἕνα — παῖδα) Vt Apollod. sed Nat. Com. ἕνα τ. ἐγχωρ. παιδαρίων.

20) τοῖς ἱεροῖς) Abest et a nostris Codd. et a Nat. Com. Glossator debet Apollodoro. Infra τοῖς ἄλλοις κρέασι.

21) παρέθηκαν) Nostri cum Nat. Com. vt edd. pr. παρέθεντο, cf. Heyn. ad Apollod.

22) συμβουλ. — Μαινάλου) Sunt Apollodori, nam nostri Codd. vti edd. pr. cum Nat. Com. non habent.

23) ζεὺς δὲ μυσαχθ.) Nat. Com. τοῦτο δὲ ζεὺς ἐγνωκὼς καὶ μυσ. optime, nam Iupiter ab hoc cibo, nisi re antea cognita, abhorrere non poterat. Hyginus quoque fab. 176. huic lectioni favet, nam habet: *Postquam sensit, iratus mensam euertit*, Ab Apollodoro haec plane absunt, cf. Heyne p. 303.

24) ἔνθα) Nostri cum Nat. Com. et edd. omnibus ὅθεν, quod etiam Tzetzes fere vbique vsurpat. Ἔνθεν est Apollodori.

25) τραπεζοῦς) Sic Seb. cum Apollodoro: nostri Codd. vt edd. pr. τραπεζεὺς, forte aeque bene. Nat. Com. haud dubie optime vtrumque praebet sic: ὁ τόπος τραπεζεὺς ἐν Ἀρκαδίᾳ, καὶ τραπεζοῦς ἡ πόλις καλεῖται. cf. Heyne in Obseruatt. ad Apollod. p. 265. interprett. ad Hygin. l. l. et Tzschucke ad Pomp. Mel. I, 19, §. 12.

26) τούτου) A Seb. additum nostri ignorant: est Apollodori.

27) ἐκεραύνωσε) Nostri cum edd. pr. κεραυνοῖ. Differt Nat. Com. qui sic habet: τῶν δὲ λυκάονος παίδων ὡς ἀσεβησάντων εἰς ξένον μετ᾽ αὐτοῦ λυκάονος, τοὺς μὲν εἰς λύκους ἔτρεψε, τοὺς δὲ ἐκεραύνωσε.

Νυκτίμου δὲ τὴν βασιλείαν λαβόντος, ὁ ἐπὶ Δευκαλίωνος ἐγένετο [29]) κατακλυσμὸς, ὃν ἔνιοί φασι διὰ τὴν τῶν Λυκάονος [30]) παίδων ἀσέβειαν γεγεννῆσθαι.

Ἄλλως [31]). Ὁ Ζεὺς, ἐπιξενωθεὶς τῷ Λυκάονι, εἱστιᾶτο παρ' αὐτῷ [32]). Οἱ δὲ τούτου υἱοὶ, ἀπόπειραν ποιούμενοι, εἰ θεός ἐστι, κρέα κομίσαντες, καὶ τὰ Νυκτίμου κρέατα [33]) συμμίξαντες τοῖς ἄλλοις κρέασι, παρέθηκαν [34]) τῷ Διΐ. Ὁ δὲ ὀργισθεὶς, ἀνέτρεψε τὴν τράπεζαν, ἔνθα νῦν [35]) Τραπεζοῦσα [36]) πόλις ἐστὶν ἐν Ἀρκαδίᾳ· τινὰς [37]) δὲ τῶν τοῦ Λυκάονος παίδων ἀνεῖλε κεραυνῷ, καὶ τὴν Ἀρκαδίαν συνεχῶς ἐκεραύνωσεν, ἕως ἡ γῆ ἀνασχοῦσα τὰς χεῖρας, καὶ τῆς δεξιᾶς τοῦ Διὸς ἐφαψαμένη, τὴν ὀργὴν κατέπαυσε [38])· διό φασι πρώτως [39]) ἐν Ἀρκάσιν ἐκεχειρίαν [40]) γενέσθαι. Ἐνίους δὲ τῶν Λυκάονος παίδων εἰς λύκους μετέβαλεν [41]), οὓς ὁ

28) νεωτάτου) Pro νεωτέρου, quod noſtri retinent, Seb. vt Apollod. recte.

29) ἐγένετο) Vt Apollod. Noſtri, vt ante Seb. γίνεται. Sic quoque verba a Seb. addita: ὃν ἔνιοι φασὶ, quae noſtri ignorant, ſunt Apollodori. Deinde legendum γεγεννῆσθαι pro γεννῆσθαι.

30) διὰ τὴν τῶν Λυκάονος usque ad οὐκ οἶδα πῶς, ἔφη, deſiderantur omnia in Vitt. 2 et 3.

31) ἄλλως) Abeſt a Vit. 1. et Ciz.

32) παρ' αὐτῷ) Seb. addidit: Vit. 1. et Ciz. non praebent.

33) κρέα κομ. — κρέατα) Sic Vit. 1. et Ciz. bene pro: κρεανομήσαντες τὸν Νύκτιμον, καὶ τὰ τούτου κρέατα.

34) παρέθηκαν) Pro vulg. παρέθησαν Vit. 1. et Ciz. recte cum Seb.

35) ἔνθα νῦν) Vit. 1. et Ciz. vt ſupra, ὅθεν καί.

36) τραπεζοῦσα) Vit. 1. et Ciz. τραπέζου, forte, vt antea, τραπεζοῦς.

37) τινὰς) Noſtri τοὺς tuentur cum edd. pr.

38) ἀνασχοῦσα — κατέπαυσε) Pro his a Seb. ſuppletis et emendatis Vit. 1. et Ciz. ſeruant vulg. παρακαλοῦσα τὸν Δία, τὴν χεῖρα ἐξέτεινε.

39) πρώτως) Ciz. et Vit. 1. πρῶτα.

40) ἐκεχειρ.) Sic legendum, pro ἐκκεχειρ. conſenſu Vit. 1. et Ciz. aliorumque ſcriptorum.

41) μετέβαλ.) Vit. 1. et Ciz. μετέβαλλεν.

Λυκόφρων, οὐκ οἶδ' ὅπως [42]), ἔφη λυκαινομόρφους γενέσθαι· εἰ μή πως [43]) εἶδος ἀντὶ εἴδους ὤφειλεν εἰπεῖν, ἀντὶ τοῦ [44]) ἀρκτομόρφων· Καλλιστὼ γὰρ, ὡς ληροῦσιν, ἡ Λυκάονος θυγάτηρ, σύνθηρος ἦν Ἀρτέμιδος [45]), ἣ Ζεὺς, εἰκασθεὶς Ἀρτέμιδι, συνευνάζεται. Ἄρκτον δὲ ταύτην ποιεῖ, διὰ τὸ λαθεῖν τὴν Ἥραν, ἐξ ἧς ὁ Ἀρκὰς ἐγεννήθη. Ἐκ ταύτης [46]) δὲ τῆς σειρᾶς κατάγεται καὶ Ἀγαπήνωρ [47]).

Νυκτίμου κρεανόμων] Καὶ τοῦτο λῆρος [48]) τῶν Λυκόφρονος λόγων· οὐ γὰρ τὸν Νύκτιμον ἐκρεανόμησαν [49]), ἀλλ' ἕτερον ἐπιχώριον παῖδα, ὥς φησιν Ἀπολλόδωρος, καὶ ἕτεροι.

482 — 83. Τῶν πρόσθε μήνης] Πρῶτον [1]) τοῦτο σκόπου [2]), ὅτι καὶ τὰ ἐπιῤῥήματα τὸ ν ἐφελκυστικὸν ἔχουσι, φωνήεντος ἐπιφερομένου, συμφώνου δὲ, οὐκέτι, ὥσπερ κἀγὼ γράφω, καὶ τούτου ἕνεκα πολλοῖς τῶν ἀμαθῶν διασύρομαι, τὸ αὐτῶν ἀῤῥώστημα προσαπτόντων ἐμοί.

42) οἶδ' ὅπως) Sic Codd. nostri pro οἶδα πῶς.

43) μήπως) Nostri male μήπω.

44) ἀντὶ τοῦ) Omittunt nostri τοῦ.

45) Ἀρτέμ.) Nostri, vt edd. pr. Ἀρτέμιδι.

46) ἐκ ταύτης) Vit. 1. et Ciz. ἐξ αὐτῆς.

47) Ἀγαπήν.) Nostri delent art. ὁ. In Pott. II. vitio operarum erat ἡ.

48) καὶ τοῦτο λῆρος) *Lege:*

καὶ τοῦτο λῆρος τῶν Λυκόφρονος λόγων·
οὐ γὰρ τὸν Νύκτιμον ἐκρεανόμησαν,
ἀλλ' ἕτερόν τιν' ἐπιχώριον παῖδα,
ὥς φησὶν Ἀπολλόδωρος καὶ ἕτεροι.

Et tales versus politici latent in vtroque Tzetza plures, si quis modo obseruare sategerit. Thryllit.

49) ἐκρεαν.) Sic Vit. 3. sed Vitt. 1. 2. et Ciz. ἐκρεατόμησαν, perperam.

1) πρῶτον usque ad προσαπτόντων ἐμοί absunt a Vit. 1. et Ciz.

2) σκόπου) Vitt. 2 et 3. σκόπει, quod idem est, cf. Phauor. ad ὑπηρετῶ.

Πρόσθε μήνης Φηγίνων πύρνων] Ἐπεὶ προσέληνοι [3]) οἱ Ἀρκάδες· ἐτρέφοντο γὰρ πρὸ συνόδου τῆς Σελήνης, πυρὶ ὀπτῶντες τὰς βαλάνους. Ἢ ὅτι προσέληνοι οἱ ὑβρισταὶ λέγονται· προσελεῖν γὰρ, τὸ ὑβρίζειν [4]). Ἄλλοι δὲ αὐτοὺς ὡς μωροὺς διαβάλλουσιν, ὡς λέγοντας ἀρχαίους εἶναι [5]), καὶ τῆς σελήνης παλαιοτέρους. Τὸ δ' ἀλληγορικώτερόν ἐστιν οὕτως [6]): Ἀστρολογίαν [7]), καὶ ἐνιαυτὸν, μῆνας, ἰσημερίας, καὶ τὰ τοιαῦτα Πὰν [8]) ὁ Ἀρκάδων [9]) βασιλεὺς, ἢ Ἄτλας Λίβυς [10]) εὗρεν [11]), ἀπὸ σελήνης τοὺς μῆνας [12]) συλλογισάμενος· ὕστερον δὲ [13]) Θαλῆς. Ἄλλοι δέ φασιν, ὅτι Ἀρκάδες [14]) θυ-

3) *προσέληνοι*) Cf. Steph. Byz. ad h. v. ibique interptt. et Io. Tzetz. Chil. IV, 810 ſqq. et omnino, quae doctiſſime, vt adſolet, Heyne diſputauit de Arcadibus luna antiquioribus in Opuſc. Acad. Vol. II, pag. 332 ſqq. vbi p. 346. etiam noſtrum locum affert.

4) *προσελεῖν — ὑβρίζειν*) Io. Tzetz. l. l. *προσελοῦν — ὑβρίζειν καλεῖται τοῖς Ἀρκάσι*, et Chil. II, 882. *προσελοῦν — καλεῖται παρ' ἑτέροις.*

5) *λέγοντας — εἶναι*) Haec duo verba abſunt a Vit. 1. et Ciz.

6) *ἐστιν οὕτως*) Vit. 1. et Ciz. *οὕτως ἔχει*: Vitt. 2 et 3. *ἐστὶν*, deleto *οὕτως*. *cf. Cenſorin. de die natal. c.* 19. Seb.

7) *ἀστρολογ.*) Vit. 1. et Ciz. *ἀστρολόγος γὰρ*, non male, vt referatur ad ſeq. *βασιλεὺς*, ſaltem melius, quam edd. ante Pott. *ἀστρολόγως.*

8) *Πὰν*) Pro *πάντα*, quod in vulgatis corruptum eſt, reſtituimus auctoritate Vitt. 2 et 3. Vtrumque et *πάντα* et *Πὰν* Ciz. et Vit. 1. ignorant. Quisque autem ſcit, vel e Virgil. Georg. III, 392:

Pan, Deus Arcadiae, captam te, Luna, ſefellit,

Pana cum Luna fuiſſe ab Arcadibus vti Deum *ἐπιχώριον* praecipue cultum. cf. Heyn. Opuſcul. l. l. p. 342.

9) *Ἀρκάδων*) Vit. 1. et Ciz. *ὁ τῆς Ἀρκαδίας.*

10) *λίβυς*) Vitt. 2 et 3. *λιβύας*, ſcl. *βασιλεύς.*

11) *εὗρεν*) Vit. 1. et Ciz. *ἐρευνῶν*, forte *ἐρευνῶν*.

12) *τοὺς μῆνας*) Conſenſu Vitt. 2 et 3. ſed Vit. 1. et Ciz. *τοῦ λόγου*, forte *τοὺς λόγους.*

13) *ὕστερον δὲ*) E Vitt. 2 et 2. *δὲ* addidimus.

14) *Ἀρκάδ. — κατέδειξαν*) Vit. 1. et Ciz. *Ἀρκάδιον — κατέδειξε*, forte *Ἀρκάδες.*

σίας Θεοῖς κατέδειξαν, πρῶτον μῦν [15]), δεύτερον [16]) ἅπου λευκὸν, τρίτον δρυὸς Φύλλα· ὅθεν ἡ Πυθία [17]).

τὸ ὄρος. Ἄλλοι δὲ λέγουσιν, ὅτι Φθεὶρ [11]) ὄρος Καρίας ἐστὶ, διὰ τὸ πολλὰς [12]) φθεῖρας ἔχειν. Φθεῖρες δὲ λέγονται οἱ καρποὶ τῶν πιτύων, ἤτοι τὰ λεγόμενα στρόβιλα [13]), ἤτοι ἐοίκασι φθειρσίν. Ἐν δὲ τῷ ὄρει ἐκείνῳ πίτυς πολλαί.

1384. Πρωτόμισθον [14]) Κᾶρα] Πρῶτοι οἱ Κᾶρες ἐμισθοφόρησαν εἰς ἐπικουρίαν, ἤτοι [15]) ἐπὶ μισθῷ συνεμάχησαν.

1385 — 87. Ὅταν κόρη κασσωρὶς] Κασσωρὶς, ἡ πόρνη. Δοκεῖ δὲ ἡ τοῦ Νηλέως θυγατηρ ἀσελγὴς γενέσθαι, καὶ ὑπό τινος τῶν Βαρβάρων διαφθαρῆναι [1]). Τοῦ δὲ Νηλεως πάλιν ἐν Μιλήτῳ μαντευσαμένου, ποῦ δεῖ κτίζειν, ὁ θεὸς ἔφη, τὴν θυγατέρα αὐτοῦ [2]) δείξειν αὐτῷ. Ἀποβὰς δὲ, εἶδεν αὐτὴν ἀνασυρομένην [3]) τοὺς μηροὺς, καὶ λέγουσαν, Τίς μοι θέλει συνουσιάσαι; συνεὶς δὲ ὁ πατὴρ αὐτῆς τὸ λόγιον, ἐκεῖ κατῴκησε [4]). Τὸ δὲ ἑξῆς οὕτως ἔχει· Ὅταν ἡ τοῦ Νηλέως θυγάτηρ, τύπτουσα τὸ αἰδοῖον, χλευάσῃ τὰ νυμφεῖα πρὸς τὰ τῶν Βαρβάρων κηλωστὰ [5]), τουτέστιν, εἰς τοὺς παρὰ [6]) τοῖς Καρσὶ κοινοὺς τόπους, ἐν οἷς αἱ ἑταιρίδες διατρίβουσι. Κηλωτὰ γὰρ ἐκαλοῦντο τὸ πρότερον [7]).

10) καὶ) Nostri non habent.

11) φθεὶρ) Seb. recte pro φθεῖρες, quod nostri tuentur.

12) πολλὰς) Vit. 2. πολλούς.

13) ἤτοι — στρόβ.) Desunt in Vitt. 2 et 3. sed in Vit. 1. et Ciz. modo ἤτοι deest.

14) πρωτόμισθ.) Hoc schol. non reperitur in Vitt. 2 et 3.

15) ἤτοι) Vit. 1. et Ciz. ἤγουν.

1) διαφθαρ.) Vitt. 2 et 3. φθαρῆναι.

2) ἔφη — αὐτοῦ) Vit. 1. et Ciz. ἔφη τῇ θυγατρὶ αὐτοῦ, non bene.

3) ἀνασυρομ.) Vit. 1. et Ciz. ἀνασυραμένην.

4) κατῴκησε) Vit. 3. κατῴκισε.

5) κηλωστὰ) Vit. 1. et Ciz. κηλωτά.

6) παρὰ) Ciz. et Vit. 1. περί.

7) κηλωτὰ — πρότερον) Absunt a Vitt. 2 et 3.

1388. Δυμαντείου σποςᾶς [8])] Δύμας, βασιλεὺς Δωριέων. Δυμάντειον δὲ καὶ Δυμαντείαν σποςὰν λέγει τοὺς Δωριεῖς ἀπὸ ταύτου. Ἡγήσατο δὲ τῆς ἀποικίας αὐτῶν, τῆς εἰς Κνίδον, Ἱππότης ὁ Ἀλήτης [9]).

1389. Λακμώνιοί τε, καὶ Κυτιναῖοι] Λάκμων [10]) μὲν, ὄρος Πεῤῥαιβίας, ἔνθα ᾤκουν οἱ Δωριεῖς. Κυτι-

8) Δυμαντ. σπορᾶς) Hoc quoque praemittunt Vit. 1. et Ciz. cum Seb. omiſſis οἱ δ' αὖ τέταρτοι, ſed reliqua ordinant, ſicut vulg. nec opus erat, ordinem verborum mutare, haud dubie a gloſſatore mutatum. Reuocauimus itaque lectionem veterem, et poſt δυμάντειον (δυμαντεῖον) inſeruimus δὲ καὶ δυμαντείαν, quod dant Vit. 1. et Ciz.

9) Ἱππότ. ὁ Ἀλήτης) Noſtri Ἱππότης pro Ἱππότας et ὁ Ἀλήτου pro ὁ Ἀλήτης. Corrupta videntur, quae hic traduntur. Aletes enim erat filius Hippotae, cff. Conon XXVI. Pauſan. II, 4, 4. Etymol. ad Ἀλήτης, ſchol. Pind. Ol. XIII, 18. vbi dic. Ἀλήτης ἡγήσατο τῆς ἀποικίας, ergo legendum videtur vel Ἀλήτης ὁ Ἱππότου, vel cum noſtris Codd. Ἱππότης ὁ Ἀλήτου, ſcl. πατὴρ, vel Hippotes ipſe nominatur Ἀλήτης, qui a Conone l. l. dicitur ἀλώμενος. Forte etiam κνίδιον, pro quo dant Vitt. 2 et 3. κύδανον f. κύτινον, cf. v. ſeq. legendum e Pauſania et ſchol. Pind. κόρινθον. His iam perſcriptis, incidi forte in ep. crit. Baſtii lat. p. 49. not. 20, vidique coniecturam noſtram κόρινθον pro κνίδιον iam a Villoiſonio eſſe occupatam, et pro Ἱππότας ὁ Ἀλήτης vel legendum eſſe Ἱππότα ὁ Ἀλήτ. auctore Ruhnkenio ad Vellei. Paterc. p. 12. vel, vt deinde Baſt. in Appendice huius epiſt. a Schaefero ed. p. 11. docuit, et in Cod. Pariſ. reperit, Ἱππότου ὁ Ἀλήτης. Videntur ergo librarii Codd. noſtrorum peruerſe ſcripſiſſe Ἱππότης ὁ Ἀλήτου pro ἱππότου ὁ Ἀλήτης, transpoſita ſyllaba ου in Ἀλήτου, et ſyllaba ης in Ἱππότης, quod ſaepius feſtinationi eorum accidit. Attamen in tanta Codd. Mſſ. inconſtantia ac diuerſitate malim legere Ἀλήτης ὁ Ἱππότου ſ. ὁ Ἱππότου l. ὁ τοῦ Ἱππότου Ἀλήτης, nam, vti conſtat, artic. in eiusmodi verborum ſtructura ſemper praemittitur Genitiuo.

10) λάκμων) Noſtri cum Steph. pro λακμάν.

νιον 11) δὲ, πολίχνιον 12) Δωριέων. Σημαίνει δὲ κατ' ἄμφω τοὺς Δωριεῖς.

Κόδροι] Λείπει ὁ καὶ 13) σύνδεσμος, ἵν' ᾖ, καὶ Κόδροι. Δηλοῖ 14) δὲ τοὺς Ἀθηναίους, ἀπὸ Κόδρου τῶν Ἀθηναίων 15) βασιλέως· μετέσχον γὰρ καὶ οἱ Ἀθηναῖοι τῆς ἀποικίας τῶν Ἡρακλειδῶν.

1390 — 92. Θίγγρον 16)] Θίγγρος, πόλις Ἰκαρίας. Σάτνιον δὲ, ὄρος Ἰκαρίας. Χερσόνησον 17) δὲ, τὴν περὶ τὸ Δώτιον, ἔνθα ᾤκει ὁ Ἐρυσίχθων. Κυρίτα δὲ, ἐπώνυμον τῆς Δημήτρας.

1395 — 96. Τῆς παντομόρφου] Ἐρυσίχθων τις Θετταλὸς, ὁ καὶ Αἴθων 1) καλούμενος, υἱὸς ὑπάρχων Τριόπα 2), ἐξέτεμε τὸ ἄλσος τῆς Δήμητρος 3). Ἡ δὲ ὀργισθεῖσα, ἐποίησεν αὐτὸν ἀεὶ λιμώττειν, καὶ μὴ

11) κυτίνιον) Sic lege pro κύτινον, vid. supra ad v. 980.

12) πολίχνιον) Pro πόλις Vit. 1. et Ciz.

13) ὁ καὶ) Sic cum lineola superscripta nostri pro ὁ καί: voc. autem σύνδεσμος abest a Vitt. 2 et 3.

14) δηλοῖ) Vitt. 2 et 3. σημαίνει.

15) Ἀθηναίων) Nostri pro Ἀθηνῶν, et mox οἱ Ἀθην. pro Ἀθην.

16) Θίγγρον) Hoc schol. non extat in Vit. 1. et Ciz. Exhibent quidem Vitt. 2 et 3. sed eo ordine, quo edd. ante Seb.

17) Χερσόνησ. — Ἐρυσίχθ.) A Seb. additum Vitt. 2 et 3. quoque addunt, sed pro Δώτιον, vt etiam habent Stephan. et Callimach. in Cer. v. 25, legunt Δωτίνιον. Ἐρυσίχθων: sic nostri Codd. cum Aelian. V. H. I, 27. Athen. X, p. 416. Apollod. III, 14, 2. et Io. Tzetz. Chill. II, 665, sed Palaephat. 24, et Ouid. Metam. VIII, 738. Ἐρισίχθων: vid. de eo Brod. ad Anthol. II, 31, p. 227.

1) Αἴθων) Cff. Reines. Varr. Lectt. III, 2. p. 370. Leopard. Emendatt. XIII, 9. et Suid. ad v.

2) Τριόπα) Pro Πριόπα Reines. l. l. pro Τριόπου, quod vulgatae conuenit. Nostri corrupte: Vit. 1. et Ciz. Εὐρώπης; Vitt. 2 et 3. Τρίωπος. cf. Wessel. ad Diod. Sic. T. II, p. 379. Schol. Villois. in Hom. Il. β, 75, Τριόπου.

3) Δήμητρος) Vitt. 2 et 3. Δημήτρας.

κορέννυσθαι τῆς πείνης [4]). Εἶχε δὲ οὗτος [5]) θυγατέρα Μήστραν [6]) φαρμακίδα, ἣν μεταβαλλομένην [7]) εἰς πᾶν εἶδος ζώου πιπράσκων ὁ πατὴρ [8]), καθ' ἡμέραν ἐτρέφετο. Ἡ δὲ πάλιν ἀμείβουσα τὸ εἶδος, καὶ φεύγουσα, πρὸς τὸν πατέρα ὑπέστρεφε, καὶ ταύτην εἶχε μέθοδον τοῦ λιμοῦ [9]). Ἡ δὲ ἀλληγορία οὕτως ἔχει· Ὁ πατὴρ τῆς Μήστρας πάντα καταφαγὼν, καὶ τοὺς ἀγροὺς διὰ πενίαν ἐκτεμὼν [10]), ἤτοι πωλήσας, ἐλίμωττεν. Ἡ δὲ τούτου θυγάτηρ πορνευομένη [11]), καὶ παρὰ τοῦ μὲν βοῦν, παρὰ τοῦ δὲ πρόβατον, καὶ παρ' ἄλλου ἄλλο εἶδος λαμβάνουσα, ἔτρεφεν ἑαυτήν τε καὶ τὸν ἑαυτῆς [12]) πατέρα· ὅθεν καὶ ἐμυθεύσαντο ταῦτα.

Αἴθωνος [13]) πτερά] Αἴθων ὁ Ἐρυσίχθων ἐκαλεῖτο, ὥς φησιν Ἡσίοδος [14]), διὰ τὸν λιμόν. Πτερὰ δὲ νῦν, τὰ ἔσχατα.

1397 — 1400. Ὁ Φρὺξ δ', ἀδελφῆς [15])] Περὶ τοῦ Μίδου λέγει, ὅστις πολλὰ μέρη τῆς Θρᾴκης [16])

4) τῆς πείνης) Addunt Vitt. 2 et 3.

5) οὗτος) Abeſt a Vit. 1. et Ciz.

6) Μήστραν) Sic Vitt. 2 et 3. et Io. Tzetz. Chil. II, 665. μνήστραν Vit. 1. et Ciz. hic et poſtea: Palaeph. l. l. μήτραν, cf. ibi Fiſch.

7) μεταβαλλ.) Vitt. 2 et 3. μεταβαλλόμενος, ſcl. pater, non apte. Io. Tzetz. l. l. v. 668. μεταβάλλουσα ἑαυτήν.

8) ὁ πατὴρ) Abeſt a noſtris, bene.

9) καὶ ταύτην — τοῦ λιμοῦ) Deſunt in noſtris. Haec lectio, quam etiam confirmat Leopard. Emendatt. XIII, 9. eſt ex emendatione Sebaſt. pro ταῦτα εἶχε μέθοδον τοῦ λιμοῦ.

10) ἐκτεμὼν) Pro ἐκτέμνων noſtri, recte. Palaeph l. l. διαφθείρας.

11) πορνευομένη) Noſtri παραπορευομένη, mendoſe, cf. Palaeph. l. l.

12 ἑαυτῆς πατέρα) Vitt. 2 et 3. pro πατέρα: Vit 1. et Ciz. vt edd. vett. γέροντα. Deinde Vitt. 2 et 3. καὶ inſerunt poſt ὅθεν.

13 Αἴθωνος) Hoc ſchol. abeſt a Vitt. 2 et 3.

14) Ἡσιοδ.) Nil eiusmodi iam reperitur in Heſiodo.

15) ἀδελφῆς) Vitt. 2 et 3. ἀδελφῶν.

16) τῆς Θρᾴκης) Hic ponunt Vit. 1. et Ciz. aptius,

κατέδραμεν, ἤτοι ἐπόρθησε [17]). Οὗτος οὖν, φησὶ, τὸ αἷμα τῆς Κλεοπάτρας τιμωρούμενος, τὴν Εὐρώπην, τὴν τροφὸν τοῦ ἡγεμονεύοντος καὶ ἐξάρχοντος [18]) τῶν νεκρῶν, καὶ δικάζοντος αὐτοὺς Μίνωος, πορθήσει.

1401 — 08. Ὃς δήποτ' ἀμφώδοντος] Ὅστις δήποτε [1]) Μίδας ὑπὸ τοῦ ἀμφώδοντος καὶ ξίφους, κατ' ἐμὲ [2]), φθέρσας καὶ κόψας τὰ κύφελλα [3]) καὶ τὰ ὦτα ἐξ ἄκρων τῶν λοβῶν, καλλυνεῖ τὰς παρωτίδας. Ἢ, κατὰ τοὺς λοιπούς· Ὅστις τοῦ ἀμφώδοντος καὶ τοῦ ὄνου τεμὼν τὰ κύφελλα, καλλυνεῖ τὰς παρωτίδας [4]). Λέγουσι γάρ τινες, ὦτα ὄνου ἔχειν τὸν Μίδαν, καὶ ἀποκόψαι αὐτά. Οἱ δέ φασιν, ὅτι ὀξέως ἤκουε, καὶ διὰ τοῦτο [5]) ταύτην ἔσχε τὴν ὀνομασίαν· λέγει γὰρ Ἀριστοτέλης [6]), τὸν ὄνον πολλὰ [7]) ἀκούειν. Ἄλλοι δὲ λέγουσι [8]), διὰ τὸ πολλοὺς [9]) ὠτακουστὰς αὐτὸν ἔχειν. Τὸ δ' ἀληθὲς οὕτως ἔχει [10])· Λέγουσιν, ἐν Φρυγίᾳ δύο εἶναι λόφους, καλουμένους [11]) Ὦτα Ὄνου, ὧνπερ [12]) ὁ Μίδας κρατή-

quam vulg. quae addit ea τῷ· ἐπόρθησε.

17) ἤτοι ἐπόρθ.) Vitt. 2 et 3. non agnofcunt.

18) καὶ ἐξάρχ. — δικάζ. αὐτοὺς) A noftris abfunt.

1) ὅστις δήπ.) Vitt. 2 et 3. ὃς δή ποτε.

2) κατ' ἐμὲ) Hic Vit. 1. et Ciz. adiiciunt: κατὰ δ' ἑτέρους ὄνου, omiffis tamen fqq. ἢ κατὰ τοὺς — παρωτίδας.

3) κύφελλα) Vitt. 2 et 3. κύφελα hic et in feqq.

4) τὰς παρωτίδ.) Vitt. 2 et 3. negligunt τάς.

5) διὰ τοῦτο) Vitt. 2 et 3. διὰ ταῦτα.

6) Ἀριστοτ.) De Animal. V, 2. cf. quoque Io. Tzetz. Chill. I, 2.

7) τὸν ὄνον πολλὰ) Vit. 1. et Ciz. πολλὰ τὸν Μίδαν, male.

8) ἄλλοι — λέγ.) Vit. 1. et Ciz. ἄλλος δὲ λέγει.

9) διὰ τὸ πολλοὺς) Pro πολλοὺς Ciz. et Vit. 1. bene: fic quoque Eudoc. p. 290. et Conon. Narr. 1.

10) ἔχει) Pro ἐστὶ Vitt. 2 et 3. at Vit. 1. et Ciz. neque ἐστὶ neque ἔχει.

11) λέγουσιν — λόφους, καλ.) Vit. 1. et Ciz. λέγονται — λόφοι καλούμενοι: Vitt. 2 et 3. λέγεται — λόφους καλ.

12) ὧνπερ) Pro οἷσπερ Vit. 1. et Ciz. recte.

σας, καὶ τοὺς ἐν αὐτοῖς λῃστὰς ἀνελὼν, ἐμυθεύθη ἔχειν ὄνου ὦτα. Οἱ δέ φασιν, ὅτι ὦτα ἔχων ὄνου, ἀπέκοψεν αὐτά· ὅθεν καὶ ἐπιφέρει· δάπταις τιτύσκων, τοῦτ' ἔστι, ὁ διὰ τὸ αἷμα, καὶ τὰ τραύματα τὰς μυίας ἀποσοβῶν [13]).

Ex 1403. Δάπταις [14])] Ταῖς μυίαις, παρὰ τὸ δάπτειν.

1409. Πολλῶν δ' ἐναλλὰξ] Πολλοὶ, φησὶ, πόλεμοι ποτὲ μὲν ἐν Ἀσίᾳ, ποτὲ δὲ ἐν Εὐρώπῃ [15]) ἔσονται [16]).

1410. Κανδαῖος, ἢ Μάμερτος] Κανδαῖος καὶ Μάμερτος [17]) ὁ Ἄρης λέγεται.

1412. Ἡ 'πιμηθέως τοκὰς] Ἡ Ἀσία. Ἀσίας γὰρ καὶ Ἰαπετοῦ Προμηθεὺς καὶ Ἐπιμηθεύς· ὅστις Ἐπιμηθεὺς [1]), μετὰ τὸ ποιῆσαι τὸ κακὸν, ἦν φρόνιμος, ὥστε μετανοεῖν.

1413. Περσέως] Οἱ Πέρσαι ἐκ τοῦ Περσέως [2]), τοῦ ἀπὸ τῆς Δανάης, τὸ γένος ἔχουσιν, ἧς ὁ Ζεὺς ἐρασθεὶς, τὸν Περσέα ἐποίησε.

1414 — 15. Τῷ θάλασσα μὲν βατὴ] Ὁ γὰρ [3]) Ξέρξης, ἐκφοβῶν τοὺς Ἕλληνας, ὅτε κατὰ τῶν Ἀθηναίων [4]) ἐστράτευσε, τὸν μὲν Ἑλλήσποντον ἔχωσεν [5]),

13) οἱ δέ φασιν — ἀποσοβῶν) Haec ſoli Vit. 1. et Ciz. addunt.

14) δάπταις) Hoc ſchol. a Seb. prolatum noſtri ignorant.

15) ἐν Ἀσ. — ἐν Εὐρ.) Vitt. 2 et 3. tollunt vtrumque ἐν.

16) ἔσονται) Abeſt a Ciz. et Vit. 1.

17) Κανδαῖος — Μάμερτ.) Vit. 1. et Ciz. Κανδάων — Μαμερτός. λέγεται, a Seb. additum, noſtri non addunt.

1) ὅστις Ἐπιμηθ. vsque ad v. 1414. in Vitt. 2 et 3. deſiderantur.

2) οἱ Πέρσαι ἐκ τοῦ Περσ. — ἔχουσιν) Sic Vit. 1. et Ciz. pro ἐκ Περσέως — ἔχουσ. qua lectione recepta non opus eſt emendatione Sebaſt. qui poſt Δανάης inſerit ὁ Ξέρξης, et legit ἔχει pro ἔχουσιν.

3) γὰρ) Inſerunt Vit. 1. et Ciz.

4) Ἀθηναίων) Pro Ἀθηνῶν noſtri.

5) ἔχωσεν — ἐποίησε) Vit.

ἤτοι βατὴν γῆν ἐποίησε· τὸν δὲ Ἄθων [6]) τὸ ὄρος κόψας, ἐποίησε θάλασσαν, ὡς ὁ Ἡρόδοτος ἱστορεῖ [7]). Καὶ νῦν μὲν ταύτας τὰς ἱστορίας, καὶ τὰ τῶν λοιπῶν σχόλια γράφω. Ὕστερον δὲ μετὰ τὸ εἰπεῖν τὰ μικρὰ ταῦτα πάντα περὶ τοῦ Ξέρξου σχολύδρια [8]), πᾶσαν τούτου τὴν ἱστορίαν πεπλατυσμένως ἐρῶ.

1416 — 20. Οἱ δὲ Λαφρίας οἶκοι Μαμέρσας] Οἱ οἶκοι [9]) τῆς Ἀθηνᾶς ἡ Ἀττική. Λαφρία δὲ καὶ Μάμερσα, ἡ Ἀθηνᾶ. Τὸ δὲ ἑξῆς οὕτως [10])· Οἱ δὲ οἶκοι τῆς Ἀθηνᾶς σὺν τοῖς ξυλίνοις τείχεσι κατακαέντες, τὸν Ἀπόλλωνα αἰτιάσονται καὶ μέμψονται διὰ τὸν χρησμὸν, ὡς ἀπατήσαντα αὐτούς [11]).

Ex 1419. Τὸν χρησμολέσχην αἰτιάσονται [12])] Ὅτε ὁ Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἤρχετο, ἐχρήσθη τοῖς Ἀθηναίοις τόδε [13])·

Τεῖχος Τριτογενεῖ [14]) ξύλινον διδοῖ εὐρύοπα Ζεύς.

Οἱ δὲ Ἀθηναῖοι τοῦτο οὐ καλῶς νοήσαντες, κατεσκεύασαν ἐν τῇ ἀκροπόλει τεῖχος ξύλινον, ἐν ᾧ οἱ εὑρεθέντες

1. et Ciz. modo ἔχων: Vitt. 2 et 3. ἔκοψε, reliquis demtis.

6) Ἄθων) Sic Vit. 1. et Ciz. cum Herodot. VII, 21. Ἄθωνα Vitt. 2 et 3.

7) ὡς ὁ Ἡρόδ. ἱστορεῖ) Absunt a nostris, quia adeo a Vit. 1. et Ciz. reliqua huius scholii.

8) σχολύδρια) Vitt. 2 et 3. χολύδρια: vtrumque voc. Lexica ignorant. Seruandum σχολύδριον, quod est Deminutiv. a σχόλιον, vt νησύδριον a νῆσος.

9) οἱ οἶκοι) Nostri pro οἶκος, aptius.

10) οὕτως) Nostri non habent.

11) καὶ μέμψ. — αὐτούς) Exciderunt in Vit. 3. oscitantia librarii, quia in schol. seq. repetitur αἰτιάσονται.

12) αἰτιάσ.) A Seb. additum comprobant Vitt. 2 et 3.

13) τόδε) Vitt. 2 et 3. τάδε.

14) τριτογενεῖ) Vit. 1. et Ciz. τριτογενείῃ, Vitt. 2 et 3. τριτογενείων, contra metrum. τριτογενεῖ Herodot. VII, 141. Polyaen. Strateg. l. I, p. 41. Scholiast. ad Aristoph. ἱππεῖς p. 349, b. et schol. Hermogenis Syrian. et Sopi-

πάντες κατεκαύθησαν ὑπὸ τῶν Περσῶν. Θεμιστοκλῆς δὲ τότε [15]) στρατηγῶν εἶπεν αὐτοῖς [16]), τὸν χρησμὸν τεῖχος ξύλινον τὰς ναῦς αἰνίττεσθαι [17])· διὸ πεισθέντες [18]) κατεναυμάχησαν τὸν Ξέρξην, εἰς τὰς τριήρεις ἐμβάντες ναῦς [19]). Ἡ δὲ ναυμαχία γέγονεν ἐν Σαλαμῖνι.

Ex 1420. Πλούτωνος λάτριν] Φασὶν, ὅτι ἐν τῷ τρίποδι χάος ἦν μέγα, ὅθεν τὰ μαντευόμενα ὡς ἐκ τοῦ [1]) Αἴδου ἀνήρχοντο, ἅπερ ὁ Ἀπόλλων ἐσαφήνιζε [2]).

1422. Δίπλακα σκέπην] Δίπλακα εἶπεν, ἐπειδὴ διπλῆν ἔχει σκέπην ἡ δρῦς· δύο γὰρ δέρματα ἔχει. Ἀπὸ δὲ τοῦ ἑνὸς καρποῦ τῆς δρυὸς τοὺς πάντας ἐδήλωσεν· οἱ γὰρ ἀρχαῖοι [3]) πᾶν δένδρον δρῦν ἐκάλουν.

1424. Ἅπας δ' ἀναύρων] Ἰστέον, ὅτι [4]) ὑπερβολικῶς εἶπεν, ὡς πάντες οἱ ποταμοὶ ξηρανθήσονται ὑπὸ τοῦ πλήθους τῶν Περσῶν· μόνος γὰρ ὁ ἐν Ἀττικῇ [5]) Ἰλισσὸς, καὶ ὁ ἐν Θεσσαλίᾳ [6]) Ὀνοχῶνος [7]) καλούμενος ἀπεξηράνθησαν [8]), ὥς φησιν Ἡρόδοτος καὶ Καλλίμαχος·

pater p. 110. T. II, *Rhet. Aldin.* Thryll.

15) τότε) Vitt. 2 et 3. τηνικαῦτα.

16) εἶπεν αὐτοῖς) Vitt. 2 et 3. συνεβούλευσε.

17) αἰνίττεσθαι) Pro λέγειν comprobant Vitt. 2 et 3. Videtur esse, vt συνεβούλ. ex emendatione Io. Tzetzae in altera recensione, nam Vit. 1. et Ciz. qui, ni fallor, sunt primae recensionis, λέγειν tuentur.

18) διὸ πεισθ.) Vit. 1. et Ciz. πεισθ. δέ.

19) ναῦς) Addunt Vitt. 2 et 3.

1) ἐκ τοῦ) Vitt. 2 et 3. tollunt ἐκ.

2) ἐσαφ.) Vitt. 2 et 3. ἐσαφήνισε.

3) ἀρχαῖοι) Pro Ἀχαιοὶ nostri cum Seb.

4) ἰστέον, ὅτι) Vit. 1. et Ciz. praemittunt, et mox ὡς πάντες pro ὅτι πάντες.

5) ἐν Ἀττικῇ) Sine art. τῇ Vit. 1. et Ciz. ἐν Ἀττικοῖς Vitt. 2 et 3.

6) ἐν Θεσσαλ.) Nostri art. τῇ iterum omittunt.

7) Ὀνοχ.) Pro Ὀνόχων a Seb. emendatum, recte: nostri vulg. tenent.

8) ἀπεξ.) Pro ὑπεξηράνθ. nostri.

Ἡρόδοτος δὲ φησὶ [9]), ἀποξηρανθῆναι καὶ ἐν τῇ Ἀσίᾳ τὸν Μαίανδρον. Ἄναυρος [10]) δὲ, κυρίως ὁ ἐν χειμῶνι ῥέων ποταμός.

1426. Κύφελλα] Τὰ ὦτα εἶπεν [11]) ἀνωτέρω, νῦν δὲ νέφη φησὶ, διὰ τὸ κοῦφα εἶναι. Λέγει δὲ νῦν τὸ πύκνωμα τῶν βελῶν.

1427 — 28. Κίμμερός θ' ὅπως] Κιμμέριοι, ἔθνος περὶ [12]) τὸν Ὠκεανὸν ζόφῳ κεκαλυμμένον [13]). Ὁ δὲ νοῦς· Ὥσπερ ὁ σκοτασμὸς [14]) τῶν Κιμμερίων, ἀφανίζων τὸ φῶς, σκότος [15]) ποιεῖ, οὕτως καὶ τὰ Περσικὰ βέλη πεμπόμενα, συγκρύψει [16]) τὸν ἥλιον.

1429 — 31. Λοκρὸν δ' ὁποῖα] Ὁ Ξέρξης, φησὶ, φοβηθεὶς, φεύξεται, ἐπ' ὀλίγον χρόνον ἀνθήσας καὶ κρατήσας, ὡς τὸ ἐν Λοκροῖς ῥόδον, ὃ θᾶττον μαραίνεται δι' ἀσθένειαν [17]).

9) *καὶ Καλλίμαχος· Ἡρόδοτ. δὲ φησὶ*) Vit. 1. et Ciz. addunt, a reliquis omiſſa; quae ſane lectio videtur veriſſima. Attamen, vt me docuit Thryllit. apud Sotionem de lacubus p. 127. ed. Sylb. legitur: *τὴν κατὰ Ἄβδηρα λίμνην Κύστειρον καλουμένην φασὶ τὸ Ξέρξου στράτευμα πῖνον ἀναξηρᾶναι.* cf. Herodot. VII, 196. Locus Callimachi laudatus inerat libro *περὶ τῶν ἐν Εὐρώπῃ ποταμῶν* deperdito.

10) *ἄναυρος*) Schol. Apollon. I, 9. *ἄναυρον λέγει τὸν χείμαῤῥον· οἱ γὰρ ἐξ ὑετῶν συνιστάμενοι ποταμοὶ οὕτω καλοῦνται.* cf. Sturz. ad Pherecyd. p. 181. et Spanh. ad Callimach. in Dian. 101.

11) *εἶπεν*) Tollunt Vit. 1. et Ciz. legentes: *ἀνωτέρω μὲν κύφελλα τὰ ὦτα, νῦν δὲ φησι τὰ νέφη.* cf. Suid. de voc. *κύφελλα.*

12) *περὶ*) Ciz. et Vit. 1. *παρά.*

13) *κεκαλ.*) Vitt. 2 et 3. *κεκαλυμμένοι.* cff. de Cimmeriis Io. Tzetz. in Chill. XII, 448, et ſchol. Aeſchyl. Prometh. 729, vbi dicc. *ἀφώτιστοι* et habitare ad Taurum Scythicum et paludem Maeotida.

14) *σκοτασμὸς*) Noſtri pro *σκοτισμός.*

15) *σκότος*) Vit. 1. et Ciz. *σκότον.*

16) *συγκρύψ.*) Noſtri *καλύψει*, vt Lycophr.

17) *χρόνον — ἀσθένειαν*) Vitt. 2 et 3. *τῇ νίκῃ λαμπρυνθεὶς*, reliquis demtis. Vit.

1432 — 34. Μόσυνα Φηγότευκτον] Νῦν τὴν ναῦν λέγει· εἰώθασι [1]) γὰρ ἐν ταῖς ναυσὶ μηχανᾶσθαι καὶ ποιεῖν πύργους ξυλίνους· ὁ δὲ νοῦς οὕτως· Ὁ Ξέρξης, Φησὶν [2]), νικηθεὶς ἐν Σαλαμῖνι, Φεύξεται, καὶ τῆς παλιμπλώτου [3]) Φυγῆς γεύσεται, ναῦν [4]) ἀναζητῶν καὶ ψηλαΦῶν, ὥσπερ κόρη ἀναζητεῖ [5]) σκότον ἐρημίας, ὥστε κρυβῆναι ἐν αὐτῇ [6]), ὅταν ὑπό τινος ξιΦηΦόρου πολεμίου [7]) διώκηται. Ἡ δὲ σύνταξις οὕτως [8])· Αὖθις καὶ εἰς τοὐπίσω παλιμπλώτοιο γεύσεται Φυγῆς ὁ Ξέρξης. Ἢ αὖθις καὶ πάλιν ἄγχι παμΦαλώμενος καὶ περιβλέπων καὶ ψηλαΦῶν μόσυνα Φηγότευκτον, ἤτοι ναῦν. Οὕτω δὲ ψηλαΦῶν ναῦν, ὡς κόρη δειματουμένη χαλκηλάτῳ ξίΦει (ἀπὸ κοινοῦ τὸ παμΦαλᾶται [9]) καὶ ψηλαΦᾷ) λυκοψίαν κνεΦαίαν. Καὶ ταῦτα μὲν [10]) οὕτως. Ἡμεῖς δὲ [11]), κατὰ τὰ προϋπεσχημένα [12]), τὴν περὶ τοῦ Ξέρξου ἱστορίαν πλατυτέρως γράΦειν ἀρχώμεθα.

1. et Ciz. consentiunt cum vulg. sublatis modo ὃ θᾶττον — ἀσθένειαν.

1) εἰώθασι — ξυλίνοις) Non extant in nostris.

2) Φησὶν) Hinc Seb. verba schol. proxime praeced. ἀνθήσαι — ῥόδον perperam repetiit, quae haud dubie margini cuiusdam Cod. Msc. allita alieno loco sunt obtrusa. Eiicienda itaque, cum nil ad sensum verborum iuuandum facerent, curauimus.

3) παλιμπλ.) Vit. 3. παλιμπλόου.

4) ναῦν) Vit. 1. et Ciz. ναῦς, non apte.

5) ἀναζητεῖ — ἐρημίας) Vit. 1. et Ciz. ζητεῖ σκότου ἐρημίαν: Vitt. 2 et 3. ἀναζητῶν σκότος ἐρημίας.

6) ἐν αὐτῇ) Pro ἐν αὐτῷ bene iungunt voc. ἐρημίας.

7) πολεμίου) Vitt. 2 et 3. non agnoscunt.

8) ἡ δὲ σύνταξις vsque ad χαλκηλάτῳ ξίΦει desiderantur in Vit. 1. et Ciz. In Vitt. 2 et 3. modo ἡ δὲ σύντ. οὕτως.

9) παμΦαλᾶται) Vitt. 2 et 3. παμΦαλῶται, perperam.

10) καὶ ταῦτα μὲν — vsque ad v. 1437. omnia absunt a Vit. 1. et Ciz. Videntur addita a Io. Tzetza, qui in Chil. I, 32. eadem eodemque modo narrat.

11) ἡμεῖς δὲ) A Seb. addita Vitt. 2 et 3. non addunt.

Ἱππίας, ὁ Πεισιστράτου, τύραννος ὢν Ἀθηναίων, ἐξέπεσε τῆς τυραννίδος. Ἐλθὼν δὲ παρὰ 13) Πέρσας, ἱκετεύει Δαρεῖον, στρατεύειν κατ' Ἀθηνῶν 14). Καὶ ὃς πείθεται, ὡς Ἀριστείδης 15) φησίν. Ἡρόδοτος 16) δὲ γράφει, Ἀθηναίους ἀναπεισθέντας ὑπὸ Ἀρισταγόρου 17) τοῦ Μιλησίου πορθῆσαι Σάρδεις καὶ ἑτέρας οὔσας 18) ὑπὸ Δαρεῖον. Ὁ μαθὼν ὁ Δαρεῖος ἤρετο, τίνες εἶεν 19) οἱ Ἀθηναῖοι; καὶ ἀπέστειλε κατ' αὐτῶν Μαρδόνιον μετὰ βαρείας δυνάμεως, καὶ στόλου πολλοῦ. Ναυαγήσαντος δὲ τούτου περὶ τὸν Ἄθων 20), ὡς δισμυρίους ἄνδρας ναυαγῆσαι, καὶ τραυματισθῆναι ὑπὸ Θρᾳκῶν καὶ αὐτὸν τὸν Μαρδόνιον, παραλύει μὲν τοῦτον ὁ Δαρεῖος τῆς ἀρχῆς· δευτέρῳ δὲ ἔτει τῷ ἀπὸ τοῦδε ἔπεμψεν Ἀθηναίοις σπυ-

12) *προϋπεσχ.*) Vit. 3. *ὑπισχόμενα*, fcl. ad v. 1414.

13) *δὲ παρὰ*) Pro *οὖν περὶ* Vitt. 2 et 3.

14) *κατ' Ἀθην.*) Vitt. 2 et 3. pro *κατὰ Ἀθ.*

15) *Ἀριστείδης*) Equidem non repugnauerim Sebaftiano, qui Milefium illum hiftoricum, a Plutarcho in Parallel. Stobaeo Serm. VII, aliisque faepius laudatum in hiftoria, quam de rebus Perficis confcripferit, intelligi arbitratur. Veruntamen fi is Io. Tzetz. in Chil. I, 32. v. 852. confuluiffet, quem vero neque hic, neque alias confulere fuftinuit, Aelii Ariftidis Panathenaicum intelligendum effe cognouiffet, nam ibi fic: *ὡς ὁ παναθηναϊκὸς τοῦ Ἀριστείδου γράφει.* Attigit, vt Seb. obferuat, quod Tzetzes hic refert, idem Ael. Ariftid. in orat. *πρὸς Πλάτωνα ὑπὲρ τῶν τεσσάρων*, c. 278. vbi fcholiaft. haec adnotat: *ἐκπεσὼν τῆς τυραννίδος ὁ Ἱππίας, μνησικακῶν ἦλθε πρὸς Δαρεῖον, καὶ ἔπεισεν αὐτὸν κατὰ τῆς Ἑλλάδος στρατεῦσαι.*

16) *Ἡρόδοτ.*) L. V, 96 fqq.

17) *Ἀρισταγόρου*) Vt Herodot. et Io. Tzetz. in Chill. l. l. fed Vitt. 2 et 3. *Ἀριστάρχου*, perperam.

18) *ἑτ. οὔσας*) Vitt. 2 et 3. deleto voc. *πολλάς*, bene.

19) *εἶεν*) A Seb. fupplementum noftri non agnofcunt.

20) *Ἄθων*) Noftri, vt fupra, pro *Ἄθωνα* (Io. Tzetz. Chil. l. l. v. 856. *πρὸς Ἄθω*) fed *ναυαγ. τούτου*, vt edd. ante Seb. *ναυαγήσαντα — τοῦτον*: cf. de hoc naufragio Herodot. VI, 44 et 45.

ρίδα [21]), γῆν καὶ ὕδωρ αἰτῶν. Οἱ δὲ, τοὺς μὲν Περσῶν πρέσβεις εἰς Φρέαρ ζῶντας βαλόντες, ἄνωθεν γῆν καὶ λίθους πέμποντες, τούτους κατέχωσαν. Εὑρόντες [22]) δὲ Μῦν τινὰ Σάμιον, ἑρμηνεύσαντα τοῖς Ἀθηναίοις τὰ Περσῶν γράμματα, κατά τινας μὲν, ἀνεῖλον· κατά τινας δὲ, ἄτιμον ἐποίησαν. Ὡς καὶ Ἄρθμιον [23]) τὸν Ζε-

21) *σπυρίδα*) A Seb. perperam eiectum reuocauimus, nam *πρέσβεις* ab ipſo e Codd quibusdam intruſum non hiſtoriae quidem, cf. Herodot. VI, 48, ſed Io. Tzetzae, auctori huius ſcholii, in Chill. I, v. 858. aduerſatur, vbi eadem tradit: *πέμπει δ' αἰτῶν τοῖς Ἀττικοῖς σπυρίδα γῆν καὶ ὕδωρ*, h. e. *ſportulam terra et aqua repletam.* Vitt. 2 et 3. legunt *κυρσίλαν*, mendoſe, quod vero *σπυρίδα* magis conuenit: forte leg. *κυαίριν*, vas, vel *κυρσίλον*, qui poſtea nominatur, verum is erat Athenienſis. Sine dubio *πρέσβεις*, quod iam latet in *ἔπεμψε*, in Codd. Sebaſt. a gloſſatoribus eſt illatum.

22) *εὑρόντες*) Addunt noſtri, bene: omiſſo vero voc. Μῦν, quod fortaſſe excidit. Io. Tzetz. Chil. I, 888. in hiſtoria Xerxis commemorat Mandroclem Samium. An ille eſt, qui hic Μῦς nominatur? Videtur eſſe, et compendio ſcripturae Μανδροκλῆς corruptum.

23) *Ἄρθμιον*) Noſtri pro *Ἀρίθμιον*, recte. In ora Vit. 3. adnotatur: *εἴρηται περὶ τοῦ Ζιλείτου Ἀρθμίου, οὗ καὶ Δημοσθένης μέμνηται.* Arthmium autem Zelitam infamia notatum fuiſſe, quod aurum Medicum in Graeciam corrumpendorum Graecorum cauſa intulerit, Demoſth. Philipp. III, T. I, p. 121, et de falſa legat. p. 428. ed. Reisk. tradit. *Nonnus*, id affert Thryllit., *ἐξηγήσει ἱστοριῶν in α' στηλιτ. Theologi occurrentium p.* 127, *ed. Eton.* *Στήλη δέ ἐστιν, ἢ λίθος, ἢ χαλκὸς, ἐν ἐπιμήκει σχήματι τετραγώνῳ, ἐν ᾗ ἐγγέγραπται ἡ τοῦ στηλιτευομένου ὕβρις· οἷον Ἀθηναῖοι τὸν Ζηλείτην* (ſic) *Ἄρθμιον, τὸν διαφθείροντα τοὺς Ἕλληνας χρήμασιν, ἐπὶ τὸ μᾶλλον ὑπακοῦσαι τῷ Πέρσῃ, ἐν στήλῃ ἀνέγραψαν, ἀτιμώσαντες καὶ αὐτὸν καὶ ἅπαν τὸ γένος αὐτοῦ, ἐξουσίαν δεδωκότες ἐν τοῖς γράμμασι τῷ βουλομένῳ αὐτὸν ἀποκτεῖναι, ἐγγράψαντες καὶ τὴν αἰτίαν ἐν αὐτῇ τῇ στήλῃ, ἥτις ἦν αὐτῷ τῷ Ἀρθμίῳ ψόγος· ὅτι, φησὶ, τὸν χρυσὸν τὸν ἐκ τῶν Μήδων εἰς Πελοπόννησον ἤγαγεν.* Idem narrat Dicaearch. in orat. in Ariſtogiton. p. 90. ed. Reisk. Ad De-

λείτην ἠτίμωσαν, χρυσίον βαρβαρικὸν αὐτοῖς παρὰ Δαρείου κομίσαντα [24]) πρεσβευόμενον. Κυρσίλον [25]) δὲ, τῆς Βουλῆς ἕνα, κατελίθωσαν καὶ ἀνεῖλον οἱ Ἀθηναῖοι, ὅτι γῆν καὶ ὕδωρ συνεβούλευσε [26]) πέμπειν τῷ Βαρβάρῳ. Αἱ δὲ τῶν Ἀθηναίων γυναῖκες τὴν γυναῖκα Κυρσίλου ὁμοίως κατελίθωσαν, καὶ οἱ παῖδες τοὺς παῖδας αὐτοῦ.

Τῷ αὐτῷ ἔτει, Ὀλυμπιάδι οά [27]), ὁ Δαρεῖος, μετὰ τὸ ἐκστῆσαι [28]) Μαρδόνιον τῆς ἀρχῆς, ἔπεμψε πάλιν κατὰ τῆς Ἀττικῆς Δᾶτιν καὶ Ἀρταφέρνην [29]), ἀνεψιὸν αὐτοῦ, καὶ ἑξακοσίων νηῶν στόλον, καὶ Νάξον [30]) εἷλον, καὶ Ἐρέτριαν, Εὐβοΐδος [31]) πόλιν. Ἐν δὲ τῇ Δήλῳ Δᾶτις ἐθυμίασε τῷ Ἀπόλλωνι λιβανωτοῦ τ' τάλαντα. Ἀποπλεύσαντες δὲ, καὶ περὶ Μαραθῶνα στρατοπεδευσάμενοι (σὺν οἷς ἐτύγχανε καὶ ὁ τύραννος Ἱππίας, Μιλτιάδου στρατηγοῦντος [32]) Ἀθηναίων [33]) καὶ Στησιλέου, πολεμαρχοῦντος δὲ Καλλιμάχου καὶ Κυναιγείρου, καὶ Πλαταιῶν συμμαχούντων αὐτοῖς τῶν χιλίων) ἡττῶν-

mosth. Philipp. III. tradit Reisk. Codd. Parif. V et VIII, et Auguftan. I et II. legere Ἀρίθμιον.

24) χρυσίον — κομίσαντα) Vitt. 2 et 3. περὶ Δαρείου χρυσίον βαρβ. αἰτήσαντα, quod vero Demofitheni et Dicaearcho repugnat, qui narrant: ὅτι χρυσὸν f. χρυσίον ἐκ τῶν βαρβάρων Μήδων ἤγαγε f. ἐκόμισε ἐπὶ διαφθορᾷ τῶν Ἑλλήνων.

25) κυρσίλον) Vitt. 2 et 3. κυρσίλιον, et poftea κυρσιλίου pro κυρσίλου.

26) συνεβούλευσε) Pro συνεβούλευε noftri, bene.

27) τῷ αὐτῷ — Ὀλυμπ. οά) Haec verba Vitt. 2 et 3. annectentes fuperioribus παῖδας αὐτοῦ cum interpunctione, pergunt fic: Ὁ δὲ Δαρεῖος, non inepte.

28) ἐκστῆσαι) Vitt. 2 et 3. ἐκστῆναι.

29) Ἀρταφ.) Herodot. VI, 94.

30) Νάξον) Herodot. l. l. Ἀθήνας, fed Io. Tzetz. Chil. I, 862. quoque Νάξον.

31) Εὐβοΐδος) Pro Εὐβοΐδα noftri non agnofcunt: retinent vulg. Forte leg. vt in Chil. l. l. v. 962. Εὐβοίας.

32) Μιλτ. στρατηγ.) Mire Vit. 3. καὶ Μιλτιάδης στρατηγοῦντες.

33) Ἀθηναίων) Noftri cum Seb. pro Ἀθηνῶν.

ται [34]), καὶ πρὸς Δαρεῖον ὑποστρέφουσιν. Ὅπερ ἀκηκοὼς, κατὰ τῆς Ἑλλάδος ηὐτρεπίζετο στρατεῦσαι [35]): Ἐπὶ τρεῖς οὖν ὅλους ἐνιαυτοὺς στόλον τε ηὐτρέπιζε, καὶ πεζὸν συνῆγε στρατόν. Τετάρτῳ δὲ ἔτει Δαρεῖος μὲν τελευτᾷ.

Ξέρξης δὲ καὶ τὴν βασιλείαν καὶ τὸν πόλεμον διαδέχεται, Μαρδονίου λέγοντος [36]) αὐτῷ πολεμεῖν, Ἀρταβάνου δὲ τοὐναντίον. Ἦν δὲ [37]) ὁ πᾶς ἀριθμὸς αὐτῷ [38]) τῆς στρατιᾶς, ἀπόμαχός τε καὶ μάχιμος, μυριάδες πεντακόσιαι [39]). Πλοῖα δὲ δισχίλια [40]) διακόσια ἑπτά [41]). Τετρακόσια δ' ἦν [42]) τάλαντα ἡμερησία τροφὴ τῷ στρατῷ. Στρατεύων οὖν κατὰ τῆς Ἑλλάδος, ἠθέλησε καινοτομῆσαι τὰς φύσεις [43]). Βούβαρις γὰρ καὶ ὁ πεντάπηχυς Ἀρταχαῖος [44]) προπεμφθέντες [45]) μετὰ πολλῶν μυριάδων, τῆς ὀρυγῆς [46]) τοῦ Ἄθω ἐπεστάτουν, καὶ διέκοπτον αὐτὸν, καὶ ἐθαλάττουν εἰς βάθος. Ἕτεροι δὲ γεφυροῦν

34) ἡττῶνται) Herodot. VI, 114.

35) στρατεῦσαι) Herodot. VII, 1.

36) Μαρδ. λέγ.) Herod. VII, 5.

37) ἦν δὲ) Noſtri pro ἦν οὖν.

38) αὐτῷ) Vitt. 2 et 3. αὐτοῦ.

39) μυριάδ. πεντακόσιαι) Pro μυρ. πεντακόσιοι noſtri. Sic quoque Io. Tzetz. Chil. I, 879: aliter Herodot. VII, 60 et 184.

40) δισχ.) Pro χίλια conſenſu noſtrorum dedit Sebaſt.

41) ἑπτά) Pro ἑξήκοντα noſtri Codd. cum Io. Tzetz. in Chil. I, 877. et Herodot. VII, 184. Sine dubio litterae ζ et ξ confuſae, quae primum erant ſcriptae.

42) ἦν) Noſtri ἦσαν.

43) φύσεις) Io. Tzetz. in Chil. I, v. 883. τῶν στοιχείων.

44) Ἀρταχαῖος) Sic quoque noſtri cum Io. Tzetz. Chil. I, v. 918. ſed Herodot. VII, 21. Ἀρταχαίης.

45) προπεμφθ.) Seb. conſentientibus noſtris pro προύπεμφθ. quod eſt auctore Thryllit. σόλοικον, immo barbarum.

46) ὀρυγῆς) Ita quoque Io. Tzetz. Chil. I, 915. Vit. 2. ὀρυγοῦς: Vit. 3. ὀρυοῦς, vitioſe. Herodot. l. l. τοῦ ἔργου. Lexica vero quum

ἐπέμφθησαν τὸν Ἑλλήσποντον περὶ Τραχεῖαν ἀκτὴν λεγομένην, μεταξὺ Σηστοῦ καὶ Ἀβύδου. Γεγονυίας δὲ τῆς γεφύρας, καὶ λυθείσης ὑπὸ χειμῶνος, διακοσίαις 47) ῥάβδων πληγαῖς ἔτυψε τὸν Ἑλλήσποντον, καὶ δύο ζεύγη 48) (ποδῶν) δεσμῶν σιδηρῶν ἐκέλευσεν ἐμβαλεῖν εἰς τὸ πέλαγος, ὡς δῆθεν τὴν θάλασσαν, οἷα δούλην, δεσμῶν τοῖς κλοιοῖς. Ἑτέρας δὲ δύο γεφύρας, ἀντὶ τῆς προτέρας, τούτῳ τῷ τρόπῳ ἐποίησαν 49)· ναῦς πλαγίας 50) κατὰ ῥοῦν ἔστησαν, καὶ ἐπλήρωσαν τὸ πέλαγος. Ἄνωθεν δὲ τῶν νηῶν σχοίνους ὑπερμεγέθεις εἵλκυσαν ἐξ ἑκατέρου μέρους τῆς γῆς. Ἄνωθεν δὲ τῶν σχοίνων δοκοὺς ὑπεστόρησαν 51) καὶ προσήλωσαν. Εἶτα γῆν ἐπέβαλον ἐπὶ τὰς δοκοὺς 52), καὶ ἐπέῤῥανον ἐπὶ τὴν γῆν 53) φυλλάδας μυρσίνης καὶ δάφνης. Ἑκατέρωθεν δὲ τῆς γεφύρας ἦσαν ἕτεραι δοκοὶ περικλείουσαι 54) τὴν γέφυραν, μήπως τὶς ὀλισθήσας 55), καταπέσῃ πρὸς τὴν θάλασσαν. Οὕτω

ignorent voc. ὀρυγὴ, omnino leg. ὀρυχῆς.

47) διακοσίαις) Sic noſtri cum Io. Tzetz. Chil. I, 891. verum Herod. VII, 35. τριακοσίας: forte σ et τ permutatae.

48) ζεύγη) Vitt. 2 et 3. addunt βοῶν, ſine dubio ex ore dictantis male exceptum, et fraude adiuncti ζεύγη corruptum pro ποδῶν, ita vt ποδῶν δεσμῶν ſit i. q. Io. Tzetz. in Chill. I, 892. vno verbo ποδοπεδῶν, Herodot. vero l. l. πεδέων exprimit. Vncis incluſum ποδῶν addidimus.

49) ἑτέρας — ἐποίησαν) Vitt. 2 et 3. ἑτέρας δὲ γεφύρας τούτῳ τῷ τόπῳ ἀντὶ τῆς πρ. ἐπ. ſane non inepte, niſi vulgat. magis congrueret Herod. VII, 36, τὰς δὲ ἄλλοι ἀρχιτέκτονες ἐζεύγνυσαν· ἐζεύγνυσαν δὲ ὧδε.

50) πλαγίας) Sic quoque Io. Tzetz. Chil. I, 895: Herod. l. l. ἐπικαρσίας: ſed Vitt. 2 et 3. πλαγίως.

51) ὑπεστόρ.) Vitt. 2 et 3. ὑπεστήριξαν.)

52) τὰς δοκ.) Vitt. 2 et 3. τοὺς δοκ.

53) ἐπέῤῥαν. — γῆν) Noſtri modo ἔῤῥαινον, ſublatis ἐπὶ τὴν γῆν. Io. Tzetz. l. l. v. 908. ἄνωθεν (h. e. ἐπὶ τὴν γῆν) ἐπιῤῥαίνουσι μυῤῥίνην τε καὶ δάφνην.

54) ἕτεραι — περικλείουσαι) Vitt. 2 et 3. ἕτεροι δοκοὶ περικλείοντες.

55) τὶς ὀλισθ.) Noſtri pro ὀλισθ. τίς. Deinde πέσῃ pro

μὲν αἱ γέφυραι γεγόνασι περὶ τὸν Ἑλλήσποντον, καὶ λιθίνην αὐτῷ 56) ἕδραν ὑψηλὴν ἐκεῖ ἐποιήσαντο, ἐν ἧπερ ἐφιδρυσθεὶς 57) ὕστερον, ὅτε 58) παρεγεγόνει, τὸ στράτευμα ἔβλεπε.

Πρῶτον δὲ περὶ τὰς Κελαινὰς, πόλεις τῆς Φρυγίας 59), ἐλθὼν 60) ξενίζεται σὺν παντὶ τῷ στρατεύματι παρὰ Πυθίου τοῦ Λυδοῦ, ὃς καὶ τῷ Δαρείῳ πρὶν ἐδωρήσατο 61) χρυσῆν ἀναδενδράδα καὶ πλάτανον. Καὶ τῷ Ξέρξῃ τότε 62) ἀργυρίου ἐχαρίσατο δισχίλια 63) τάλαντα, καὶ υ' μυριάδας Δαρεικοῦ χρυσίου νομίσματος, χιλιάσιν ὀλίγαις ἀπολειπομένας 64). Ὧν οὐδὲν ὁ Ξέρξης λαβὼν, ἀλλὰ τὴν προαίρεσιν αὐτοῦ ἀσπασάμενος 65), καὶ τὸ λεῖπον μᾶλλον τῶν μυριάδων ἀποπληρώσας 66), ἔμελλε πρὸς τὰ τοῦ Ἑλλησπόντου μέρη πορεύεσθαι διὰ Φρυγίας 67) καὶ Λυδίας. Περί τινα δὲ τόπον ἰδὼν πλάτανον ὡραίαν, καθ' Ἡρόδοτον 68) ἐχρύσωσεν 69) αὐτὴν διὰ τὸ

καταπέσῃ. Io. Tzetz. Chil. I, 904. *μή πως ἐκ τῶν πλαγίων τὶς εἰς θάλασσαν ἐμπέσοι.*

56) *αὐτῷ*) Vitt. 2 et 3. *αὐτοῦ.*

57) *ἐφιδρυσθεὶς*) Noſtri recte pro *ἐφιδρυθεὶς* l. *ἐφιδρυνθείς.*

58) *ὅτε*) Pro *ὅταν* Vitt. 2 et 3. bene.

59) *τῆς Φρυγ.*) Noſtri delent art. *τῆς.*

60) *ἐλθὼν*) Vitt. 2 et 3. addunt *Πεισιστράτῳ*, quod turbat contextum verborum. Thryllit. coniicit *παντστρατί.*

61) *ἐδωρήσ.*) Herodot. VII, 27. Noſtri *ἐχαρίσατο*, vt mox quoque *ἐχαρίσατο* pro *ἐχαρίζετο*, bene.

62) *τότε*) Praemiſſum *δὲ* delent Vitt. 2 et 3.

63) *δισχίλ.*) Vit. 3. *δυσχίλ.*

64) *καὶ υ' μυρ. — ἀπολειπομένας*) Vitt. 2 et 3. *καὶ τετρακοσίας μυρ. δαρειακῷ χρυσονομίσματι χιλιάδα ὀλίγα ἀπολειπόμενος*, mendoſe. Herodot. VII, 28. *τετρακοσίας μυρ. στατήρων Δαρεικῶν, ἐπιδεούσας ἑπτὰ χιλιαδέων.*

65) *ἀσπασάμενος*) Vitt. 2 et 3. *ἀποδεξάμενος.* Io. Tzetz. Chil. I, 930. *τὴν γνώμην θαυμάσας.*

66) *ἀποπληρ.*) Pro *ἀναπληρώσας* noſtri cum Herodot. VII, 29.

67) *διὰ Φρυγίας*) Noſtri ſine art. *τῆς.*

68) *Ἡρόδοτ.*) VII, 31.

κάλλος αὐτῆς. Κατὰ δὲ ἑτέρους τινὰς, ὅτι περὶ μεσημβρίαν καθεσθεὶς ὑπ' αὐτὴν, τὸ θάλπος ἐξέφυγε. Πορευομένου δὲ αὐτοῦ προσωτέρω 70), ἐπικυψάντων τῶν ἵππων πιεῖν, ἐξηράνθη 71) ὁ Μαίανδρος, ὡς καὶ ὁ Πηνειὸς περὶ Θεσσαλίαν ὕστερον, καὶ ἐν Ἀθήναις 72) ὁ Ἰλισσὸς, καὶ ἕτεροι. Πεφθακότος δὲ αὐτοῦ 73) περὶ τὸν Ἑλλήσποντον, ἔκλειψις 74) ἡλίου καὶ σημεῖα ἐγένοντο ἕτερα· ὅμως ἑπτὰ νυξὶ καὶ ἡμέραις ὁ στρατὸς ἀπερικόπως 75) τὰς γεφύρας ἐπεραιοῦτο. Τέλος ἐφ' ἅρματος καὶ αὐτὸς διεπεραιοῦτο 76).

Ἐρχομένου δὲ καὶ αὐτοῦ 77) πρὸς τὴν Ἀττικὴν, Ἀθηναίοις ἐδόθη χρησμὸς τοιοῦτος 78)·

Τεῖχος 79) Τριτογενεῖ ξύλινον διδοῖ εὐρυόπα Ζεὺς,
Μοῦνον ἀπόρθητον τελέθειν, τό σε τέκνα τ' ὀνήσει 80)·
Μὴ δὲ σύγ' ἱπποσύνην 81) τε μένειν καὶ πεζὸν ἰόντα 82)
Πολλὸν ἀπ' Ἠπείρου στρατὸν ἥσυχος, ἀλλ' ὑποχωρεῖν.

69) ἐχρύσ.) Herodot. δωρησάμενος κόσμῳ χρυσέῳ.

70) προσωτέρω) Vitt. 2 et 3. πρόσω. Vulg. προσωτέρως.

71) ἐξηράνθη) Pro ἀπεξηρ. nostri cum Tzetz. Chil. I, v. 931.

72) ἐν Ἀθήναις) Io. Tzetz. v. 933. in Chil. I. περὶ Ἀθήνας. Idem h. l. est ἐν, quod περί.

73) πεφθακότος — αὐτοῦ) Pro πεφθακότες Vit. 2. bene, vt antea πορευομένου αὐτοῦ.

74) ἔκλειψις — ἐγένοντο ἕτερα) Vitt. 2 et 3. bene pro ἔκλ. ἡλ. ἐγένετο καὶ σημ. ἕτερ. cf. Herodot. VII, 17.

75) ἀπερικόπως) Abest a nostris, non bene. Io. Tzetz. in Chill. I, 950. ἐπεραιοῦτο ἀδιαστίκτῳ βάσει.

76) διεπεραιοῦτο) Nostri recte pro διαπεραιοῦται.

77) καὶ αὐτοῦ) Nostri addunt, bene.

78) τοιοῦτος) Vitt. 2 et 3. οὗτος.

79) τεῖχος) Herodot. VII, 141. vid. supra ad v. 1419. *Leguntur quoque hi vers. ap. Niceph. Gregor. ad Synes. p. 369. et primus solus p. 422. Addit subiungitque statim, reliquis rescissis, priori versui schol. Hermogenis Sosipater et Syrianus:* ὦ θεία Σαλαμὶς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν. Thryllit.

80) τό — ὀνήσει) Vit. 2. τότε τὲ κατονήσει: Vit. 3. τόγε τε κατανοήσει, perperam.

81) ἱπποσύνη) Vit. 2. Ἱπ-

Καὶ ἕτερα τοιαῦτα. Τοῦτο γοῦν ἀκούσαντες οἱ Ἀθηναῖοι, γυναῖκας μὲν καὶ παῖδας καὶ γέροντας περὶ Τροιζῆνα ἐξέθεντο· πύργους δὲ ποιήσαντες ξυλίνους ἐν ταῖς Ἀθήναις εἴασαν μετά τινων, οὓς ὕστερον οἱ Πέρσαι σὺν τοῖς πύργοις κατέκαυσαν. Οἱ δὲ Ἀθηναῖοι περὶ Σαλαμῖνα εἶχον τὸν στόλον, ὅπου ὕστερον καὶ τοὺς Βαρβάρους κατεναυμάχησαν, σοά πλοῖα ἔχοντες τὰ τῶν συμμάχων καὶ αὐτῶν πάντα. Ὁ δὲ Ξέρξης περὶ τὸ Αἰγάλεων 83) ὄρος, ἀντικρὺ τῆς Σαλαμῖνος κείμενον, ἐπὶ θρόνου λαμπρῶς ἐκάθητο, βλέπων τὴν ναυμαχίαν. Ἡττηθέντων δὲ τῶν αὐτοῦ τῇ ναυμαχίᾳ, πεζῇ πολεμῆσαι ἠθέλησε, καὶ ἐκ τῆς τῶν Περσικῶν βελῶν ἐπαφέσεως 84) ἐκρύβη ὁ ἥλιος. Τότε μαθών τις τῶν Ἑλληνικῶν στρατηγῶν τοῦτο 85), εἶπε τοῖς στρατιώταις· „Ἀριστοποιήσασθε, „ὦ ἄνδρες, ἵνα παρ' Ἅιδῃ δειπνήσωμεν μαχόμενοι. Θαρ„ρεῖτε δέ· οὐ γὰρ ὑπὸ θάλπος ἡλίου, ὑπὸ σκιὰν δὲ βελῶν „πολεμήσομεν." Ξέρξου δὲ μετὰ παντὸς τοῦ στρατοῦ ἐρχομένου, Λεωνίδης ὁ Σπαρτιάτης μετὰ τ' τὰς περὶ τὸ Ἀρτεμίσιον 86) παρόδους κατείληφε. Καὶ ἀντιταξάμενος πρὸς αὐτὸν, πολλοὺς 87) ἀνεῖλε, καὶ δύο ἀδελ-

ποσοῦν: Vit. 3. ἱπποσῦν, vitiose.

82) ἰόντα) Vit. 3. ἐόντα.

83) Αἰγάλ.) Nostri Αἰγάλαιον. Lege potius cum Herodot. VIII, 90. Αἰγάλεων. Potterus Αἰγάλεως putat esse formae Ionicae, Αἰγάλαος autem formae communis. Io. Tzetz. Chill. I. v. 978. ἄνωθι τοῦ ἐκγαλέου (αἰγαλέου) ὄρους.

84) ἐπαφέσεως) Verbum ἐπαφίημι Lexica habent, sed substantiuum ἐπάφεσις adhuc ignorant. Vit. 2. legit ἀφέσεως.

85) τοῦτο) Nostri ponunt bene post στρατηγῶν.

86) περὶ τὸ Ἀρτεμίσιον) A Seb. remotum pro ἐν Θερμοπύλαις reposuimus, quum illud quoque Io. Tzetz. Chil. I, 960. exhibeat. Malumus cum ipso Tzetza errare potius, si error est, quam ei obtrudere lectionem, etsi veram, tamen ei alienam et a glossatore illatam. Plures autem erant vrbes eius nominis, cf. Steph. Byz.

87) πολλούς, seq. μὲν, Vitt. 2 et 3. delent, recte. cf. Herodot. VII, 224.

φους τοῦ Ξέρξου· τοσοῦτον δὲ ἀντέστη [88]) γενναίως μαχόμενος, ὡς καὶ τὸν Ξέρξην ἀποβῆναι τοῦ ἵππου, καὶ πεζῇ μάχεσθαι [89]). Τέλος δὲ [90]) συμπατήσαντες [91]) αὐτόν τε τὸν Λεωνίδην καὶ τοὺς τριακοσίους, διῆλθον διὰ τῶν σκηνωμάτων αὐτῶν. Λαβόντες δὲ [92]) τὴν κεφαλὴν Λεωνίδου, ἀνεσταύρωσαν.

Τέλος ἰδὼν ἑαυτὸν ὁ Ξέρξης ἔτι παρὰ τῶν Ἀθηναίων καὶ τῶν λοιπῶν Λακεδαιμονίων κακούμενον, προσέτι δὲ ἀκούων, ὅτι καὶ τὴν γέφυραν λύειν μέλλουσιν οἱ Ἕλληνες, τὸν Μαρδόνιον ἀφεὶς πολεμεῖν, αὐτὸς δὲ μέρος λαβὼν τοῦ ἑαυτοῦ [93]) στρατεύματος, ὑπεχώρει. Καὶ τούτων δὲ οἱ πλείους περὶ τὴν πάροδον χειμῶνι καὶ λιμῷ διαφθείρονται. Αὐτὸς δὲ ἀπὸ Στρυμόνος [94]) νηῒ Φοινίσσῃ ἐμβὰς, καὶ δεινῇ τρικυμίᾳ περιπεσὼν, ὡς καὶ πολλοὺς ἀποπηδῆσαι τῆς νεὼς εἰς τὴν [95]) θάλασσαν χάριν τῆς σωτηρίας, αὐτὸς μόλις πρὸς τὴν πατρίδα [96]) δυστυχῶς ὑποστρέφει. Τὸν δὲ Μαρδόνιον καὶ τοὺς σὺν αὐτῷ Πέρσας οἱ Ἀθηναῖοι ἀνεῖλον, καὶ Μασίστιον, τὸν χρυσοῦν λεπιδωτὸν θώρακα ἔχοντα, δι' ὃν ἀνῃρημένον καὶ μεγάλη μάχη ἐγένετο. Ταῦτα μὲν οὕτω. Ξέρξης δὲ, πρὸ τοῦ ἀπελθεῖν εἰς τὴν ἑαυτοῦ πατρίδα, μετὰ τοιαύτην ἧτταν [97]) ἐν Σάρδεσι παραγεγονὼς, εἰς ἔρωτα τῆς Μασίστιδος [98]) ἐμπέπτωκε γυναικὸς, καὶ ταύτῃ συνῆν, καὶ

88) ἀντέστη) Vit. 3. ἀντέστησε.

89) μάχεσθαι) Vit. 3. μαχέσασθαι.

90) τέλος δὲ) Pro τέλος Vitt. 2 et 3.

91) συμπατήσ.) Nostri male συμπατήσαντα.

92) λαβ. δὲ) Nostri seq. καὶ tollunt, et pro λεωνίδου legunt λεωνίδουν.

93) ἑαυτοῦ) Nostri non agnoscunt cum Io. Tzetz. Chil. I, 994.

94) ἀπὸ Στρυμ.) Nostri διὰ Στ. Io. Tzetz. Chil. I, 996. ἀπὸ Στρ. ἐπιβὰς νηὸς αὐτὸς Φοινίσσης.

95) εἰς τὴν) Sic quoque Io. Tzetz Chil. I, 998. Vit. 3. πρὸς τήν.

96) πρὸς τὴν πατρ.) Nostri cum Io. Tzetz. l. l. v. 1000. pro εἰς τὴν πατρ.

97) ἧτταν) Pro ἧττων nostri, recte.

98) Μασίστ.) Nostri Μασίτιδος. Io. Tzetz. Chil. I,

συνέχχισεν. ὥσπερ νενικηκὼς, ὁ πᾶσαν [99]) ἀπολωλεκὼς τὴν Περσίδα, οἷα καὶ [100]) πάντες οἱ ἡττημένοι διαπράττονται. Τέλος ἐλθὼν [101]) εἰς τὴν πατρίδα, τὸ πένθος αὐτοῦ παρεσήμανεν.

1437. Δειναῖσιν [1]) ἀρχαῖς] Ταῖς δειναῖς ἀκταῖς, δηλονότι τῆς θαλάσσης, παρὰ ταῖς ἀρχαῖς τοῦ ὕδατος.

1438. Οἱ δ' ἐν μεταφρένοισιν] Ἀντὶ τοῦ, ἐν [2]) τοῖς πεδίοις, ἀπὸ τῆς τῶν βοῶν ἀρόσεως, ἤτοι τῆς ἀρουμένης ὑπὸ τῶν βοῶν.

1439 — 40. Ἕως ἂν αἴθων] Ἕως ἂν ὁ Μακεδὼν Ἀλέξανδρος ἐλθὼν καταπαύσῃ τὸν πόλεμον, κυριεύσας καὶ μοναρχήσας. Ἡ γὰρ μήτηρ τοῦ Ἀλεξάνδρου, ἡ Ὀλυμπιὰς [3]), εἰς Πύῤῥον, τὸν Ἀχιλλέως, καὶ Ἕλενον, τὸν Πριάμου, τὸ γένος ἀνέκαθεν ἀνέφερεν, ὥς φησι Θεόπομπος [4]) καὶ Πύρανδρος [5]). Ἀνάγει δὲ τὸ

1007. γυναικὸς αὐτοῦ τοῦ Μασιστίου.

99) πᾶσαν) Vit. 2. ἅπασαν.

100) οἷα καὶ) Io. Tzetz. Chil. I, 1011. addit bene μέχρι νῦν.

101) ἐλθὼν) Noſtri cum Io. Tzetz. Chil. I, 1012. pro ἀπελθών.

1) Δειναῖσιν) Schol. v. 1437 et 1438. in Vitt. 2 et 3. non reperiuntur. Vit. 1. et Ciz. δίναισιν pro δειναῖσ. cff. Nott. ad Lycophr. Seb. hic addit: *Minime placet haec interpretatio, ideoque eam non ſequimur.* Verum quamnam ſequitur? nullam dedit aliam.

2) ἐν) Delent Vitt. 2 et 3.

3) Ἡ γὰρ μήτηρ — Ὀλ.) Sic Vit. 1. et Ciz. bene, pro ἡ γ. Ὀλ. ἡ μήτ. Ἀλεξ.

4) Θεόπομπος) *In hiſtoriis Philipp. quas libris 58. conſcripſiſſe teſtantur plures auctores, inpr. Diod. Sic.* XVI, *p.* 511. *vid. Phot. Bibl. C.* 176. Sebaſt. Vit. 3. perperam Θεόπεμπτος. Supra ad v. 174. quoque vulg. Θεόπεμπτος pro Θεόπομπος. cf. ibi dicta.

5) Πύρανδρ.) Forſ. in Peloponneſiacis, quorum mentionem facit Plutarch. in Parall. min. c. 37. T. VII, p. 250, ed. Reisk. ὡς Πύρανδρος ἐν τετάρτῳ πελοποννησιακῶν. Forte leg. Πείσανδρος. cf. *Bibl. der alten Litterat. St.* II, *p.* 104, et Heyne ad Virg. Aen. T. II, p. 233.

γένος, ὁ μὲν Πύῤῥος εἰς Αἰακόν· ὁ δὲ Ἕλενος εἰς Δαρδανον.

1441. Θεσπρωτὸς [6])] Διὰ τὸ τὴν μητέρα αὐτοῦ Ἠπειρῶτιν εἶναι.

Χαλαστραῖος] Γράφεται [7]) καὶ Χαλαδραῖος· καὶ γὰρ παρακατιὼν [8]), φησί· Χαλάδρης λύκον. Χαλαδρα [9]) δὲ, ἢ Κάναστρον [10]), πόλις καὶ λίμνη Μακεδονίας, ἀφ' ἧς ὅλην τὴν Μακεδονίαν δηλοῖ [11]).

1442. Πρηνῆ θ' ὁμαίμων] Ὁμαίμων, τῶν Περσῶν, παρόσον ἀμφότεροι, ὅ, τε Ἀλέξανδρος καὶ ὁ Ξέρξης, ἀπὸ Περσέως εἶχον τὸ γένος. Ὁ γὰρ Ἀλέξανδρος ἀπὸ Ἡρακλέους τοῦ Περσείδου, οἱ δὲ Πέρσαι ἀπὸ Περσέως [12]). Περσέως γὰρ Ἀλκαῖος, Ἠλεκτρύων, καὶ Σθένελος. Ἠλεκτρύωνος Ἀλκμήνη· Ἀλκμήνης [13]) δὲ Ἡρακλῆς. Ὁ δὲ Ἀλέξανδρος ἀφ' Ἡρακλέους καὶ Νεοπτολέμου κατῆγε τὸ γένος.

1443 — 45. Ἀργείων πρόμους] Ἢ Ἀκταίων πρόμους. Ἀργεῖοι δὲ [14]) καὶ Ἀκταῖοι, οἱ Ἀθηναῖοι.

6) Θεσπρωτὸς) Abest hoc schol. a Vitt. 2 et 3. exhibent quidem Vit. 1. et Ciz. sed demum post χαλάδρης λύκον.

7) γράφεται καὶ χαλ.) Vit. 1. et Ciz. pro καὶ χαλ. γρ. Vit. 2. et 3. γράφεται ignorant. Deinde Vit. 1. et Ciz. praemittunt καναστραῖος λεὼς pro χαλαστραῖος: Vitt. 2 et 3. vero modo καναστραῖος. cff. Nott. ad Lycophr.

8) καὶ γὰρ παρακατιὼν) Sic nostri cum Seb. pro καὶ γὰρ κατιών.

9) χάλαδρα) Vit. 1. et Ciz. καλάδρα. Haec autem vsque ad δηλοῖ absunt a Vitt. 2 et 3.

10) ἢ κάναστρον) Pro ἢ χάλαδρα Vit. 1. et Ciz. vulg. κάναστρα, vid. Steph. ad κάναστρον, et Nott. ad Lycophr.

11) δηλοῖ) Pro φησὶ Vit. 1. et Ciz. bene.

12) ὁ γὰρ Ἀλέξ. — Περσέως) Vit. 1. et Ciz. hic apte inserunt, omissis ad extrem. cum Vitt. 2 et 3. verbis οἱ δὲ Πέρσαι ἀπὸ Περσέως, alieno plane loco positis.

13) Ἀλκμήνης) Sic Vit. 1. et Ciz. sublata praeposit. ἐκ, recte.

14) Ἀργεῖοι δὲ) Vit. 3. Ἀρ-

Ἀπῴκησαν δὲ μετὰ τῆς Μηδείας εἰς Πέρσας [15]) τινὲς τῶν Ἀθηναίων. Νῦν οὖν Ἀθηναίους λέγει τοὺς Πέρσας, διὰ τὴν ἀποικίαν. Ἀναγκάσει δὲ, φησὶ, τοὺς Περσῶν ἡγεμόνας φοβηθέντας κολακεῦσαι αὐτὸν, καὶ ὑποταγῆναι, καὶ σκῆπτρον ὀρέξαι καὶ δοῦναι αὐτῷ τῆς μονοκρατορίας [16]).

1446. Οἳ δὴ μεθ' ἕκτην γένναν αὐθαίμων] Ἀδελφός μου, φασὶ, μετὰ ἕκτην γενεὰν, ἤτοι ἐκ πολλοῦ, συγγενὴς καὶ φίλος αὐτῶν νομισθήσεται [1]). Ὁ δὲ λόγος [2]) περὶ Ταρκυνίου, τοῦ Ῥωμαίων βασιλέως [3])· οὗτος γὰρ ἀπὸ Ῥωμύλου, ὡς φλυαροῦσιν [4]) οἱ τὰ τοῦ Λυκόφρονος πρὸ ἡμῶν σχολιάσαντες, ἕκτος ἦν. Ἐγὼ δὲ πρῶτον γινώσκω Ῥωμύλον [5]), εἶτα Νοῦμαν, Τοῦλλον Ὀστίλλιον τρίτον, τέταρτον Ἄγκον Μάρκιον [6]), πέμπτον Ταρκύνιον Πρίσκον [7]), ἕκτον Σέρβιον Τούλλιον [8]), ἕβδομον Ταρκύνιον τὸν ὑπερήφανον [9]), εἶτα Βροῦτον καὶ ἑτέρους [10]).

γεῖτοι γάρ; verum Ciz. et Vit. 1. haec omittunt.

15) εἰς Πέρσας) Nostri pro ἐπὶ Πέρσ. In Vitt. 2 et 3. exciderunt τινὲς — τοὺς Πέρσας lapsu librarii ob repetitum voc. Πέρσας.

16) τῆς μονοκρ.) Vit. 1. et Ciz. pro τὴν μονοκρατορίαν, recte, scl. σκῆπτρον. Addunt adeo Vitt. 2 et 3. τὰ σκῆπτρα τῆς μονοκρ.

1) ἤτοι ἐκ — νομισθήσεται) Vit. 1. et Ciz. tantum ἤγουν συγγενὴς, Vitt. 2 et 3. ἤγουν συγγένειαν.

2) ὁ δὲ λόγος) Vitt. 2 et 3. λέγει δέ.

3) Ταρκυνίου — βασιλέως) Nostri, vt ante Seb. Ταρκυνίου τοῦ Ῥωμαίου.

4) ὡς φλυαρ.) Vit. 1. et Ciz. ὡς λέγουσιν, omissis sqq. οἱ τὰ — σχολιάσαντες. Haec sunt Isaac. Tzetzae, illa vero Io. Tzetzae.

5) Ῥωμύλον) Nostri Ῥωμῦλον, vt etiam ap. Dionys. Hal. in quibusdam editt.

6) Ἄγκ. Μάρκιον) Nostri, vt ante Seb. Μάρκον Ἄγκον.

7) Ταρκύν. Πρίσκον) Vitt. 2 et 3. vt olim, Ταρκ. τὸν ὑπερήφανον, οὐ Ταρκύνιον, perperam. In Vit. 1. et Ciz. Ταρκ. ἕβδομον negligentia librarii exciderunt.

8) Σέρβ. Τούλλ.) Nostri modo Τούλλιον.

9) ἕβδομ. — ὑπερήφ.) Desunt etiam in Vitt. 2 et 3.

10) ἑτέρους) Vit. 3. τοὺς ἑτέρους.

Ἐκεῖνοι δέ φασι· Ῥωμύλος, εἶτα Πομπήϊος Λίος [11]), τρίτος Ὀστίλλιος [12]) Ἄπυς [13]), τέταρτος Μάρκος Καρπίνιος [14]), πέμπτος Πρίσκος Ὀρπίνιος [15]), ἕκτος Ταρκύνιος Τούλλιος [16]) (ἕκαστος γὰρ αὐτῶν δυσὶ καὶ πλείοσιν ἐχρᾶτο [17]) τοῖς ὀνόμασιν) ἕκτος οὖν ἐστὶ [18]), φησὶν, ἀπὸ Ῥωμύλου ὁ Ταρκύνιος [19]). Φασὶ δὲ καὶ τὸν Ῥωμύλον Αἰνείου υἱὸν, καὶ διὰ τοῦτο ἕκτον συγγενῆ τοῦτον νομίζουσι τῆς Κασσάνδρας, κακῶς. Ἐγὼ δὲ ἐνδέκατον γινώσκων [20]) ἢ δωδέκατον τὸν Ῥωμύλον ἀπ' Αἰνείου, οὐχ οὕτω φημὶ, ὡς ἐκεῖνοι, ἀλλ' οὕτως, ὅτι μετὰ ἓξ γενεὰς Ἀλεξάνδρου τοῦ Μακεδόνος Ἀλεξάνδρῳ τινὶ ἑτέρῳ Μακεδόνι ὁ ἐμὸς συγγενὴς Ταρκύνιος πολεμήσει· Ῥωμαῖοι γὰρ καὶ Μακεδόνες πολλάκις [21]) καὶ ἐν χέρσῳ καὶ ἐν θαλάσσῃ ἀλλήλους [22]) ἐπολέμησαν. Ὕστερον μέντοι συνέβη κρατηθῆναι τὸν τῶν Ῥωμαίων στρατηγὸν ὑπὸ τῶν Μακεδόνων ζῶντα, καὶ πάλιν τὸν τῶν Μακεδόνων ἡγεμόνα, τὸν ὕστερον Ἀλέξανδρον συγγενῆ τοῦ πρώην [23]), ἀναιρεθῆναι ὑπὸ τῶν Ῥωμαίων, καὶ τοῦ σώματος αὐτοῦ

11) Πομπ. Λίος) Sic quoque Vitt. 2 et 3. Debet eſſe Πομπήλιος. Vit. 1. et Ciz. πομπήϊος ἐστὶ ἴος (lege λίος).

12) Ὀστίλλιος) Pro Ὀστίνιος Vit. 1. et Ciz. recte: reliqui vulg. tuentur.

13) Ἄπυς) Vitt. 2 et 3. Ἄμπυς. Vit. 1. et Ciz. Ἄπις.

14) Μάρκ. Καρπίν.) Conſentiente Vit. 2. Μάρκ. Ταρτάνιος Vit. 3. Μάρκ. Καρσίνιος Vit. 1. et Ciz.

15) Ὀρπίνιος) Vit. 1. et Ciz. ὁ ἐρπίνιος.

16) Ταρκ. Τούλλιος) Vit. 1. et Ciz. Τούλιος ἢ Ἰούλλιος (f. Τούλλιος) Ταρπίνιος. Vit. 2. Τούλλιος Ταρπίν. Vit. 3. Ταρπίνιος Τούλλ.

17) πλείοσιν ἐχρ.) Vit. 1. et Ciz. πλείστοις ἐχρῶντο.

18) ἐστὶ) Addunt Vitt. 2 et 3.

19) Ταρκ.) Noſtri Ταρπίνιος hic et poſtea.

20) γινώσκων) Noſtri, vt ante Seb. γινώσκω, ſed γινώσκων iam Thryllit. coniecit legendum eſſe.

21) πολλάκις) Pro πολλὰ Vit. 1. et Ciz. recte: ſeq. καὶ abſorpſit vltimam ſyllabam voc. πολλάκις.

22) ἀλλήλους) Additum in vulg. πρὸς noſtri delent.

23) συγγενῆ — πρώην) Noſtri non agnoſcunt: gloſſema redolet.

κρατουμένου, ἀμοιβὴν ἐποιήσαντο [24]), οἱ μὲν Ῥωμαῖοι ἀποδόντες τὸν νεκρὸν Ἀλέξανδρον [25]), οἱ δὲ Μακεδόνες τὸν ἐκείνων στρατηγόν· καὶ οὕτως εἰρήνευσαν.

Ἄλλως [26])· Ὡς δὴ μεθ' ἕκτην γενεὰν ὁ Ταρκύνιος συμβαλὼν τῷ στρατῷ τοῦ Ἀλεξάνδρου, ἀπὸ πρώτης ὥρας ἕως ἕκτης ἐπολέμει μόνος τῷ Ἀλεξάνδρου λαῷ. Τοῦτο ἰδὼν ὁ Ἀλέξανδρος, φίλον αὐτὸν ἑαυτῷ ἐποίησε, καὶ λείαν αὐτῷ πολλὴν ἐδωρήσατο, διὰ τὴν δύναμιν αὐτοῦ.

1452. Εἰς νάπας δασπλήτιδας [1])]. Νάπαι εἰσὶν αἱ παραθαλάσσιαι [2]) πέτραι, αἱ [3]) ἐν τῷ αἰγιαλῷ ὑπὸ τῶν κυμάτων πληττόμεναι. Δυσπλήτιδες δὲ, αἱ δυσκόλως πληττόμεναι· δασπλήτιδες δὲ [4]), αἱ καταπληκτικαί.

1454. Λεψιεὺς [5])] Ὁ δεινὰ καὶ κεκαλυμμένα λέγων, ἀπὸ μεταφορᾶς τοῦ λέπους.

1456. Καὶ θεσφάτων πρόμαντιν] Ἀπὸ κοινοῦ τὸ, ἐγχρίσας ψευδηγόροις [6]) φήμαις τοὺς λόγους, ἢ τὴν [7]) ἀψευδῆ φρόνησιν τῶν μαντευμάτων· φήμην γὰρ ἤγειρεν [8]) ὁ Ἀπόλλων, ὅτι ἡ Κασσάνδρα οὐκ ἐστὶ μάντις, ἀλλὰ μαινομένη μάτην [9]) λέγει.

24) ἐποιήσαντο) Vitt. 2 et 3. pro ἐποίησαν, bene.

25) Ἀλέξανδρον) Dant Vit. 1. et Ciz. et pro ἀποδόντες Vit. 3. ἀποδιδόντες.

26) Ἄλλως vsque ad δύναμιν αὐτοῦ non extant in nostris. Non sunt, vt Thryllit. arbitratur, a Tzetzae manu: id quod iam ἄλλως innuit.

1) δασπλ.) Vit. 1. et Ciz. δυσπλ. hic et in sqq.

2) παραθαλάσσιαι) Pro παραθαλάσσιοι nostri, melius.

3) αἱ) Delent Vitt. 2 et 3.

4) αἱ δυσκόλως — δασπλ. δὲ) Desunt in Vitt. 2 et 3.

5) Λεψιεὺς) Hoc schol. nostri ad extr. totius Commentarii ponunt.

6) ψευδηγ.) Vitt. 2 et 3. ψευδηγορίαις.

7) ἢ τὴν) Pro καὶ τὴν Vit. 3. sed καὶ fors. *hoc est*.

8) ἤγειρεν) Vit. 1. et Ciz. διήγειρεν.

9) μάτην) Abest a Vitt. 2 et 3.

Σφίκειον [6]) τέρας] Ἡ Σφίγξ. Ἐκάθητο δὲ ἡ Σφίγξ περὶ Θηβῶν [7]) ὄρος, ὃ ἀπ' αὐτῆς Σφίκειον ἐκλήθη. Εἰκάζει δὲ τὴν Κασσάνδραν Βάκχῃ τῇ ἐν Κλάρου, καὶ τῆς Σιβύλλης ἐπιστήμονι, καὶ τῇ Σφιγγὶ, ὥς φησιν Εὐριπίδης [8]), διὰ τὸ συνεστραμμένα λέγειν καὶ σκοτεινά.

1467. Ἐγὼ δὲ λοξὸν] Ἤγουν αἰνιγματώδη [9]), ὅθεν καὶ Λοξίας ὁ Ἀπόλλων, ἢ παρὰ τὸ λοξὴν ἴχν καὶ φωνὴν πέμπειν (λοξοχρήσμων γὰρ ἦν) ἢ παρὰ τὸ λοξῶς ἱέναι [10]) καὶ πορεύεσθαι· ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ. Λοξῶς δὲ πορεύεται ὁ ἥλιος τὸν Ζωδιακὸν κύκλον,

Ὅπως ἀκλινὴς τῆς φορᾶς ἡ σφοδρότης,
Ἐξ ἀντικλεύρων [11]) σφίγγεται καταδρόμων,

καθά φησιν ὁ Πισίδης [12]). Τρόχιν δὲ τὸν ἄγγελόν φησι, παρὰ τὸ τρέχειν. Τινὲς δὲ [13]) κύριον ὄνομα τοῦτο νοοῦσιν, ἤτοι [14]) τὸν ἀπαγγέλλοντα ταῦτα πάντα, ὡς ἐν τῇ ἀρχῇ εἶπον.

6) σφίκειον) Pro φίκειον Vit. 1. et Ciz.: φίκιον Vitt. 2 et 3.

7) περὶ Θηβ. ὄρος) Nostri pro περὶ τὸ ὄρος Θηβῶν.

8) ὡς — Εὐριπίδ.) Absunt a Vitt. 2 et 3. cf. Hecub. 123 et 676, 677.

9) αἰνιγματώδη) Nostri pro αἰνιγματῶδες.

10) ἱέναι) Sic quoque Vit. 1. et Ciz. sed Vitt. 2 et 3. vt edd. vett. ἴεσθαι.

11) ἐξ ἀντικλ.) Sic quoque nostri cum Seb. distinguunt pro ἐξαντικλ.

12) καθά — πισίδης) Desunt in Vitt. 2 et 3. *Georgius ille, Constantinopolitanae Ecclesiae diaconus, et Referendarius Phocae atque Heraclii temporibus, vt Suidas et Nicephorus L. 18. c. 48. Hist. Eccles. auctores sunt, in poëmate illo, quod de mundi opificio tribus millibus versibus condidit (ex quibus soli supersunt verss. 1879.), vers.* 219 — 20. Sebast.

13) τινὲς δὲ) Vitt. 2 et 3. οἱ δὲ.

14) ἤτοι — πάντα) A nostris absunt, sicut etiam a Vit. 1. et Ciz. ὡς ἐν — εἶπον. Nostri vero claudunt totum opus schol. v. 1454. λεφιεὺς — λίπους supra omisso.

ΩΣ ΑΠΟ ΤΗΣ ΒΙΒΛΟΥ ΛΥΚΟΦΡΟΝΟΣ.

Ἄδηλον.

Βίβλος μὲν τελέθουσα Λυκόφρονος ᾀσματοκάμπτου [1],
Ἣν ἀλαὸς προπάροιθεν, ἀδερκέα δέργματ᾽ ἔχουσα·
Νῦν δέ με δορκαλέην [2] Ἑρμείῃ θήκατο τέχνῃ
Τζέτζης Ἰσαάκιος, εὔστροφα [3] πείσματα λύσας.

Κέκου [4].

Λόγους ἀτερπεῖς [5], πολλὰ μοχθήσας, γράφεις
Ἀνιστορήτως, βάρβαρα πλέξας [6] ἔπη,
Γολειὰ [7], γρώνας, σῦσα, καὶ τυκίσματα,
Σὺν ὀρθάγῃ τε, κρίμνα [8] καὶ λυκοψίᾳ·
Μόνον νέοις ἱδρῶτα, μωρὲ Λύκοφρον·
Οὐδὲν γὰρ ἄλλο, πλὴν κενοὶ λήρων λόγοι.

1) *ᾀσματοκάμπτου*) Sic omnino legendum pro *ᾀσματοκόμπτου*. Noſtri *ᾀσματοκόμπου*. Quae verba ignorat lingua graeca, et contextus repudiat. *Ἀισματοκάμπτης* eſt i. q. *τραγικός*. Ariſtophan. Nub. 331. Caeterum hi quatuor verſus Codd. noſtri cum Cantero et Pottero praeponunt ſcholiis.

2) *δορκαλέην*) Noſtri cum edd. ante Seb. pro *δορκαλέα*.

3) *εὔστροφα*) Vit. 3. *σύστροφα*.

4) *κέκου*) Vitt. 1. 2. et Ciz. verſſ. quidem ſeqq. exhibent, voc. vero *κέκου* non ſupraſcribunt.

5) *ἀτερπεῖς*) Vitt. 1. 2. et Ciz. *ἀπρεπεῖς*, contra leges metri.

6) *πλέξας*) Noſtri pro *λέξας*, apte.

7) *γολειὰ — λυκοψίᾳ*) Sunt nomina obſcura, quae in Lycophrone occurrunt. Cod. Vit. 2. ſuperſcripſit v. 3. haec: *αἱ πρὸς τὴν πέτραν καταδύσεις, κοίλην πέτραν, σχοινία καὶ οἰκοδομήματα.*

8) *κρίμνα*) Pro *κρίμνοις* noſtri, recte.

SCHOLIA BREVIORA.

V. 1. a) εἴπω τὰ πάντα ἀληθῶς, ἅ με ἐρωτᾷς: b) εἴπω ὅλα ἀληθῶς, ἅτινα ἐρωτᾷς: c) εἴπω ἀληθῶς, ἅτινα ἐρωτᾷς. V. 2. a) ἀπὸ πρώτης ἀρχῆς, ἐὰν δὲ μακρυνθῇ ὁ λόγος, ὁ τῆς διηγήσεως: b) ἐὰν πλατυνθῇ: c) ἤγουν ἀπὸ ἀρχῆς μέχρι τέλους, πλατυνθῇ. V. 3. a) συγγνώμην καὶ συμπάθειαν δίδου μοι, βασιλεῦ Πρίαμε, οὐ γὰρ ἡσύχως, ἤτοι μεθ' ἡσυχίας καὶ βραχυλογίας, ἡ παρθένος Κασσάνδρα: b) ὦ, οὖσα ἡ: c) * * *. V. 4. a) ἔπαυσε τῶν ποικίλων χρησμῶν τὸ ἴδιον δηλονότι στόμα, ὡς πρότερον: b) —: c) κατέπαυσε ἀπὸ, ποικίλον. V. 5. a) πολλὴν, ἀπαρακολούθητον εἰποῦσα, πολυΐστόρητον· τροπικὴ ἡ λέξις καὶ μεταφορικὴ ἀπὸ τῶν χεομένων ὑδάτων: b) πολὺν, πολυΐστόρητον: c) πολὺν ἐκρεύσασα πολύμικτον. V. 6. a) μαντικὴν μετὰ χρησμοῦ ἔπεμπε φωνήν: b) ἐμαντεύετο: c) τῶν ἐσθιόντων τὰς δάφνας, φωνήν: in margine: μαντευομένη ἀφίει φωνήν. V. 7. a) σκοτεινῆς: b) —: c) σκοτεινῆς φωνήν. V. 8. a) Ἀφ' ὧν, ἅτινα τῇ ψυχῇ: b) ἅτινα ψυχῇ: c) ἀφ' ὧν, ἐν ἐνθυμήσει φέρω. V. 9. a) κλῦθι καὶ ἄκουσον, ἀναλογιζόμενος, ἤγουν ἐν τῇ σῇ διανοίᾳ: b) ἄμποτε, ἀναπολῶν, διαλογιζόμενος, διανοούμενος: c) ἄκουσον ὦ, διαλογιζόμενος ἐν διανοίᾳ. V. 10. a)

